


Isócrates

Πανηγυρικός

Panegírico

Traducción de
Juan Manuel Guzmán Hermida

ΠΑΝΗΓΥΡΙΚΌΣ PANEGÍRICO (IV)

INTRODUCCIÓN

Nos encontramos ante la primera obra de Isócrates con intención de propaganda política; su título procede de las fiestas religiosas (*panegýria*) que se celebraban tras los juegos de Olimpia, y en las que tales discursos encontraban un auditorio numeroso. Ya desde finales del siglo *V* a. C., se había impuesto la costumbre de recitar estos discursos políticos: sabemos que el año 392 GORGIAS había pronunciado su Discurso Olímpico y LISIAS hizo lo mismo el 388[1] .

Isócrates había trabajado mucho tiempo en esta obra. Los antiguos nos hablan de una elaboración de 10 o 15 años[2].

Los sucesos políticos que motivaron el discurso son los siguientes: el año 387 a. C. se negocia la paz, llamada de Antálcidas, entre Persia y Esparta, en la que se impone el arbitraje persa, se suprimen las ligas y se abandona Asia; gracias a Persia, Esparta recupera su hegemonía, e impone su intervención en todo el Peloponeso (destrucción de Mantinea, prohibición de las alianzas, guarniciones en Tebas, etc.); el rey de Esparta, Agesilao, es el impulsor de este intervencionismo.


Todas estas circunstancias son mencionadas con frecuencia en el Panegírico, cuyo mensaje, en resumen, es una invitación a la unión de todos los griegos contra Persia, el enemigo común.

El esquema del Panegírico es el siguiente:

Exordio (1-14): superioridad del espíritu sobre la fuerza física; finalidad de la obra.
¿Quién merece la hegemonía en Grecia? (15-20)
Atenas merece la hegemonía (21-99)
Justificación del imperio ateniense (100-110)
Crítica de la política espartana (111-128)
Necesidad de luchar contra Persia (129-137)
Motivos de la guerra (138-159)
Circunstancias favorables (160-180)
Ventajas de la guerra (181-186)
Conclusión (187-189)

La fecha del Panegírico es muy precisa: entre julio y septiembre del año 380 a. C. (se habla de las luchas en Olinto y Fliunte como de algo que está ocurriendo; y estas guerras comenzaron en 382 y 381 y no terminaron hasta el 379); para discusiones sobre la fecha de difusión del discurso, cf. JEBB[3].

Es difícil sustraerse a la idea de que el Panegírico hubo de influir por fuerza en la realización de la segunda liga marítima el año 377 a. C.



[1] Con estos discursos intentaban aconsejar a los griegos sobre una política general.
[2] Cf. PSEUDO-PLUTARCO, Vida de los diez oradores 15; PLUTARCO, *De gloria Atheniensium* 8; Isócrates nos habla también de ello en este mismo discurso, parágrafo 14
[3] *The attic…*, II, pág, 108.

Πανηγυρικός
PANEGÍRICO

Exordio (1-14): superioridad del espíritu sobre la fuerza física; finalidad de la obra.

[1] πολλάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις συναγαγόντων καὶ τοὺς γυμνικοὺς ἀγῶνας καταστησάντων, ὅτι τὰς μὲν τῶν σωμάτων εὐτυχίας οὕτω μεγάλων δωρεῶν ἠξίωσαν, τοῖς δ᾽ ὑπὲρ τῶν κοινῶν ἰδίᾳ πονήσασι καὶ τὰς ἑαυτῶν ψυχὰς οὕτω παρασκευάσασιν ὥστε καὶ τοὺς ἄλλους ὠφελεῖν δύνασθαι, τούτοις δ᾽ οὐδεμίαν τιμὴν ἀπένειμαν:

1 Con frecuencia me ha causado asombro que quienes convocaron las fiestas solemnes y establecieron los certámenes gimnásticos consideraran merecedores de tan enormes premios los éxitos físicos y que, en cambio, a los que particularmente se esforzaron por el interés común y tanto aprestaron sus espíritus para ayudar a los demás, no les concedieran honor alguno[4].

[2] ὧν εἰκὸς ἦν αὐτοὺς μᾶλλον ποιήσασθαι πρόνοιαν: τῶν μὲν γὰρ ἀθλητῶν δὶς τοσαύτην ῥώμην λαβόντων οὐδὲν ἂν πλέον γένοιτο τοῖς ἄλλοις, ἑνὸς δὲ ἀνδρὸς εὖ φρονήσαντος ἅπαντες ἂν ἀπολαύσειαν οἱ βουλόμενοι κοινωνεῖν τῆς ἐκείνου διανοίας.

2 A estos últimos hubiera sido lógico prestarles más atención; porque si los atletas duplicaran su fuerza no resultaría mayor beneficio para los demás, pero de un sólo hombre inteligente se beneficiarían todos los que quisieran participar de su pensamiento.

[3] οὐ μὴν ἐπὶ τούτοις ἀθυμήσας εἱλόμην ῥᾳθυμεῖν, ἀλλ᾽ ἱκανὸν νομίσας ἆθλον ἔσεσθαί μοι τὴν δόξαν τὴν ἀπ᾽ αὐτοῦ λόγου γενησομένην ἥκω συμβουλεύσων περί τε τοῦ πολέμου τοῦ πρὸς τοὺς βαρβάρους καὶ τῆς ὁμονοίας τῆς πρὸς ἡμᾶς αὐτούς, οὐκ ἀγνοῶν ὅτι πολλοὶ τῶν προσποιησαμένων εἶναι σοφιστῶν ἐπὶ τοῦτον τὸν λόγον ὥρμησαν,

3 No elegí quedarme cruzado de brazos porque esto me descorazonara, antes bien, tras considerar que para mí sería premio suficiente la fama que me resultare de este mismo discurso, vengo a aconsejar la guerra contra los bárbaros y la concordia entre nosotros. Y aunque no desconozco que muchos de los que presumen de sofistas[5] se lanzaron sobre este tema,

[4] ἀλλ᾽ ἅμα μὲν ἐλπίζων τοσοῦτον διοίσειν ὥστε τοῖς ἄλλοις μηδὲν πώποτε δοκεῖν εἰρῆσθαι περὶ αὐτῶν, ἅμα δὲ προκρίνας τούτους καλλίστους εἶναι τῶν λόγων, οἵτινες περὶ μεγίστων τυγχάνουσιν ὄντες καὶ τούς τε λέγοντας μάλιστ᾽ ἐπιδεικνύουσι καὶ τοὺς ἀκούοντας πλεῖστ᾽ ὠφελοῦσιν, ὧν εἷς οὗτός ἐστιν.

4 sin embargo, por un lado tengo la esperanza de aventajarles de tal manera que parezca que nunca han dicho nada sobre ello; y al mismo tiempo he decidido que los más hermosos discursos son los que, al versar sobre asuntos de primera importancia, hacen destacar más a los oradores y benefician a sus oyentes

---

[4] La superioridad del esfuerzo intelectual sobre el físico es una idea que ya se encuentra en JENÓFANES, frag. 2, 15-22; Isócrates volverá a mencionarla en *Sobre el cambio de fortunas* 250 y en la *Carta a los magistrados de Mitilene* 5.

[5] Alusión a los discursos que sobre el tema habían pronunciado Gorgias y Lisias.

extraordinariamente. Este discurso es uno de ellos.

[5] ἔπειτ᾽ οὐδ᾽ οἱ καιροί πω παρεληλύθασιν, ὥστ᾽ ἤδη μάτην εἶναι τὸ μεμνῆσθαι περὶ τούτων. τότε γὰρ χρὴ παύεσθαι λέγοντας, ὅταν ἢ τὰ πράγματα λάβῃ τέλος καὶ μηκέτι δέῃ βουλεύεσθαι περὶ αὐτῶν, ἢ τὸν λόγον ἴδῃ τις ἔχοντα πέρας, ὥστε μηδεμίαν λελεῖφθαι τοῖς ἄλλοις ὑπερβολήν.

5 Por otra parte no han cambiado tanto las circunstancias como para que sea vano recordar estas cosas. Pues los oradores deben callar cuando un asunto finaliza y ya no hay que deliberar sobre él, o cuando uno ve que un discurso es tan definitivo que no puede ser superado por los demás.

[6] ἕως δ᾽ τὰ μὲν ὁμοίως ὥσπερ πρότερον φέρηται, τὰ δ᾽ εἰρημένα φαύλως ἔχοντα τυγχάνῃ, πῶς οὐ χρὴ σκοπεῖν καὶ φιλοσοφεῖν τοῦτον τὸν λόγον, ὃς ἢν κατορθωθῇ, καὶ τοῦ πολέμου τοῦ πρὸς ἀλλήλους καὶ τῆς ταραχῆς τῆς παρούσης καὶ τῶν μεγίστων κακῶν ἡμᾶς ἀπαλλάξει;

6 Pero mientras que las cosas vayan como antes y ocurra que se haya hablado con descuido, ¿cómo no va a ser necesario el examinar y estudiar este discurso que, si tuviera éxito, nos libraría de la guerra entre nosotros, del desorden actual y de los mayores males?

[7] πρὸς δὲ τούτοις, εἰ μὲν μηδαμῶς ἄλλως οἷόν τ᾽ ἦν δηλοῦν τὰς αὐτὰς πράξεις ἀλλ᾽ ἢ διὰ μιᾶς ἰδέας, εἶχεν ἄν τις ὑπολαβεῖν ὡς περίεργόν ἐστι τὸν αὐτὸν τρόπον ἐκείνοις λέγοντα πάλιν ἐνοχλεῖν τοῖς ἀκούουσιν:

7 Además, si sólo fuera posible aclarar los mismos hechos mediante un único procedimiento, cualquiera podría suponer superfluo que un orador molestase a su auditorio con la misma exposición que otros;

[8] ἐπειδὴ δ᾽ οἱ λόγοι τοιαύτην ἔχουσι τὴν φύσιν, ὥσθ᾽ οἷόν τ᾽ εἶναι περὶ τῶν αὐτῶν πολλαχῶς ἐξηγήσασθαι, καὶ τά τε μεγάλα ταπεινὰ ποιῆσαι καὶ τοῖς μικροῖς μέγεθος περιθεῖναι, καὶ τά τε παλαιὰ καινῶς διελθεῖν καὶ περὶ τῶν νεωστὶ γεγενημένων ἀρχαίως εἰπεῖν, οὐκέτι φευκτέον ταῦτ᾽ ἐστὶ περὶ ὧν ἕτεροι πρότερον εἰρήκασιν, ἀλλ᾽ ἄμεινον ἐκείνων εἰπεῖν πειρατέον.

8 pero ya que la esencia de los discursos es tal, que se puede exponer un mismo asunto de muchas maneras, empequeñecer lo grande, atribuir grandeza a lo pequeño[6] , tratar lo antiguo con un estilo nuevo, y contar a la antigua sucesos ocurridos recientemente, no se debe rehuir un tema que otros trataron antes, sino intentar decirlo mejor que aquéllos.

[9] αἱ μὲν γὰρ πράξεις αἱ προγεγενημέναι κοιναὶ πᾶσιν ἡμῖν κατελείφθησαν, τὸ δ᾽ ἐν καιρῷ ταύταις καταχρήσασθαι καὶ τὰ προσήκοντα περὶ ἑκάστης ἐνθυμηθῆναι καὶ

9 Porque los hechos ocurridos han quedado para todos nosotros como algo común, el servirse de ellos en el momento adecuado, el reflexionar lo que conviene sobre cada uno y el organizarlos

[6] Es una fórmula muy utilizada por la sofística; según PLATÓN, *Fedro* 267 A, Tisias y Gorgias habrían descubierto que la fuerza de la palabra puede lograr que las cosas pequeñas parezcan grandes y las grandes pequeñas (*tá smikrà megála kaì tà megála smikrà phaínesthai*).

τοῖς ὀνόμασιν εὖ διαθέσθαι τῶν εὖ φρονούντων ἴδιόν ἐστιν.

con buenas expresiones es propio de personas inteligentes.

[10] ἡγοῦμαι δ᾽ οὕτως ἂν μεγίστην ἐπίδοσιν λαμβάνειν καὶ τὰς ἄλλας τέχνας καὶ τὴν περὶ τοὺς λόγους φιλοσοφίαν, εἴ τις θαυμάζοι καὶ τιμῴη μὴ τοὺς πρώτους τῶν ἔργων ἀρχομένους, ἀλλὰ τοὺς ἄρισθ᾽ ἕκαστον αὐτῶν ἐξεργαζομένους, μηδὲ τοὺς περὶ τούτων ζητοῦντας λέγειν περὶ ὧν μηδεὶς πρότερον εἴρηκεν, ἀλλὰ τοὺς οὕτως ἐπισταμένους εἰπεῖν ὡς οὐδεὶς ἂν ἄλλος δύναιτο.

10 Creo que todas las demás artes y el estudio de la retórica tomarían enorme incremento si se admirara y honrara no a los que primero comienzan las acciones, sino a quienes mejor ejecutan cada una de ellas, no a quienes intentan hablar sobre lo que nadie jamás antes habló, sino a los que saben decirlo de forma que ningún otro podría hacerlo[7].

[11] καίτοι τινὲς ἐπιτιμῶσι τῶν λόγων τοῖς ὑπὲρ τοὺς ἰδιώτας ἔχουσι καὶ λίαν ἀπηκριβωμένοις, καὶ τοσοῦτον διημαρτήκασιν ὥστε τοὺς πρὸς ὑπερβολὴν πεποιημένους πρὸς τοὺς ἀγῶνας τοὺς περὶ τῶν ἰδίων συμβολαίων σκοποῦσιν, ὥσπερ ὁμοίως δέον ἀμφοτέρους ἔχειν, ἀλλ᾽ οὐ τοὺς μὲν ἀσφαλῶς τοὺς δ᾽ ἐπιδεικτικῶς, ἢ σφᾶς μὲν διορῶντας τὰς μετριότητας, τὸν δ᾽ ἀκριβῶς ἐπιστάμενον λέγειν ἁπλῶς οὐκ ἂν δυνάμενον εἰπεῖν.

11 Algunos, ciertamente, critican los discursos de nivel superior al normal y elaborados en exceso; se engañan tanto, que equiparan los discursos hechos con vistas a ser insuperables con los que versan sobre contratos privados[8], como si ambos tuvieran que ser idénticos y no unos sencillos y los otros efectistas, o como si ellos distinguieran las proporciones y el orador elegante no supiera hablar con sencillez.

[12] οὗτοι μὲν οὖν οὐ λελήθασιν ὅτι τούτους ἐπαινοῦσιν ὧν ἐγγὺς αὐτοὶ τυγχάνουσιν ὄντες: ἐμοὶ δ᾽ οὐδὲν πρὸς τοὺς τοιούτους ἀλλὰ πρὸς ἐκείνους ἐστί, τοὺς οὐδὲν ἀποδεξομένους τῶν εἰκῇ λεγομένων, ἀλλὰ δυσχερανοῦντας καὶ ζητήσοντας ἰδεῖν τι τοιοῦτον ἐν τοῖς ἐμοῖς, οἷον παρὰ τοῖς ἄλλοις οὐχ εὑρήσουσιν. πρὸς οὓς ἔτι μικρὸν ὑπὲρ ἐμαυτοῦ θρασυνάμενος, ἤδη περὶ τοῦ πράγματος ποιήσομαι τοὺς λόγους.

12 No queda oculto, en efecto, que éstos aplauden a quienes están a su altura; no va mi discurso dirigido a ellos, sino a los que no admitirán lo que se diga a la ligera, por el contrario, serán rigurosos e intentarán ver en mis palabras algo que no encontrarán en las demás. A esos dirigiré mis palabras sobre el asunto que nos ocupa, después de hacer una pequeña alabanza mía.

[13] τοὺς μὲν γὰρ ἄλλους ἐν τοῖς προοιμίοις ὁρῶ καταπραΰνοντας τοὺς ἀκροατάς, καὶ προφασιζομένους ὑπὲρ τῶν μελλόντων ῥηθήσεσθαι, καὶ λέγοντας τοὺς μὲν ὡς ἐξ ὑπογυίου γέγονεν αὐτοῖς ἡ παρασκευή, τοὺς

13 Porque veo que otros en sus proemios calman a los oyentes disculpándose por lo que van a decir, e irnos dicen que su preparación ha sido demasiado rápida, y otros que es difícil encontrar discursos iguales a la magnitud de los hechos[9].

---

[7] Retórica y filosofía son aquí conceptos idénticos

[8] Claro rechazo de la oratoria forense, a la que se había dedicado Isócrates, como sabemos, en su primera época

[9] El propio Isócrates afirma lo que ahora critica en el *Panatenaico* 36 y 38.

δ᾽ ὡς χαλεπόν ἐστιν ἴσους τοὺς λόγους τῷ μεγέθει τῶν ἔργων ἐξευρεῖν.

[14] ἐγὼ δ᾽ ἢν μὴ καὶ τοῦ πράγματος ἀξίως εἴπω καὶ τῆς δόξης τῆς ἐμαυτοῦ καὶ τοῦ χρόνου, μὴ μόνον τοῦ περὶ τὸν λόγον ἡμῖν διατριφθέντος ἀλλὰ καὶ σύμπαντος οὗ βεβίωκα, παρακελεύομαι μηδεμίαν συγγνώμην ἔχειν, ἀλλὰ καταγελᾶν καὶ καταφρονεῖν: οὐδὲν γὰρ ὅ τι τῶν τοιούτων οὐκ ἄξιός εἰμι πάσχειν, εἴπερ μηδὲν διαφέρων οὕτω μεγάλας ποιοῦμαι τὰς ὑποσχέσεις.
περὶ μὲν οὖν τῶν ἰδίων ταῦτά μοι προειρήσθω. περὶ δὲ τῶν κοινῶν,

14 Yo, en cambio, si no hablara de manera digna del tema, de mi propia reputación y del tiempo, no sólo del que hemos consumido en preparar el discurso[10], sino de todo el que he vivido, os recomiendo que no tengáis conmigo indulgencia, sino que os riáis y me insultéis; porque merezco sufrir cosas así, si hago tan grandes promesas sin ser diferente a los demás.

En lo que respecta a mis intereses particulares, esto quede advertido.

¿Quién merece la hegemonía en Grecia? (15-20)

[15] ὅσοι μὲν εὐθὺς ἐπελθόντες διδάσκουσιν ὡς χρὴ διαλυσαμένους τὰς πρὸς ἡμᾶς αὐτοὺς ἔχθρας ἐπὶ τὸν βάρβαρον τραπέσθαι, καὶ διεξέρχονται τάς τε συμφορὰς τὰς ἐκ τοῦ πολέμου τοῦ πρὸς ἀλλήλους ἡμῖν γεγενημένας καὶ τὰς ὠφελείας τὰς ἐκ τῆς στρατείας τῆς ἐπ᾽ ἐκεῖνον ἐσομένας, ἀληθῆ μὲν λέγουσιν, οὐ μὴν ἐντεῦθεν ποιοῦνται τὴν ἀρχὴν ὅθεν ἂν μάλιστα συστῆσαι ταῦτα δυνηθεῖεν.

15 En cuanto a los intereses generales, cuantos, nada más llegar, muestran que es preciso, tras hacer cesar las enemistades mutuas, volvemos contra el bárbaro[11], y describen minuciosamente las desgracias causadas por la guerra que nos hacemos, y las ventajas que se derivarán de la expedición contra aquél, dicen la verdad, pero no fundamentan cómo sería posible consolidar esto.

[16] τῶν γὰρ Ἑλλήνων οἱ μὲν ὑφ᾽ ἡμῖν οἱ δ᾽ ὑπὸ Λακεδαιμονίοις εἰσίν: αἱ γὰρ πολιτεῖαι, δι᾽ ὧν οἰκοῦσι τὰς πόλεις, οὕτω τοὺς πλείστους αὐτῶν διειλήφασιν. ὅστις οὖν οἴεται τοὺς ἄλλους κοινῇ τι πράξειν ἀγαθόν, πρὶν ἂν τοὺς προεστῶτας αὐτῶν διαλλάξῃ, λίαν ἁπλῶς καὶ πόρρω τῶν πραγμάτων ἐστίν.

16 Pues unos griegos están bajo nuestro dominio, otros, bajo el de los lacedemonios. Las constituciones por las que se rigen las ciudades han dividido así a la mayoría de ellos. Cualquiera que crea que las gentes harán en común algo bueno, antes de reconciliarse sus dirigentes, es completamente simple y está muy lejos de la realidad.

[17] ἀλλὰ δεῖ τὸν μὴ μόνον ἐπίδειξιν ποιούμενον ἀλλὰ καὶ διαπράξασθαί τι βουλόμενον ἐκείνους τοὺς λόγους ζητεῖν, οἵ τινες τὼ πόλη τούτω πείσουσιν ἰσομοιρῆσαι πρὸς ἀλλήλας καὶ τάς θ᾽ ἡγεμονίας διελέσθαι καὶ τὰς πλεονεξίας ἃς νῦν παρὰ τῶν Ἑλλήνων

17 Pero es preciso que quien no sólo hace un alarde, sino que quiere lograr algo, busque aquellas palabras que persuadan a ambas ciudades a tener los mismos derechos entre ellas, a repartirse las hegemonías y a obtener de

[10] Ver introducción a este discurso.

[11] Así se llama tradicionalmente al pueblo persa y a su rey; uno de los primeros en emplear este término es ARISTÓFANES en *Avispas* 1078.

ἐπιθυμοῦσιν αὑταῖς γίγνεσθαι, ταύτας παρὰ τῶν βαρβάρων ποιήσασθαι.

los bárbaros las ventajas que ahora desean sacar de los griegos.

[18] τὴν μὲν οὖν ἡμετέραν πόλιν ῥᾴδιον ἐπὶ ταῦτα προαγαγεῖν, Λακεδαιμόνιοι δὲ νῦν μὲν ἔτι δυσπείστως ἔχουσι: παρειλήφασι γὰρ ψευδῆ λόγον, ὡς ἔστιν αὑτοῖς ἡγεῖσθαι πάτριον: ἢν δ᾽ ἐπιδείξῃ τις αὐτοῖς ταύτην τὴν τιμὴν ἡμετέραν οὖσαν μᾶλλον ἢ 'κείνων, τάχ᾽ ἂν ἐάσαντες τὸ διακριβοῦσθαι περὶ τούτων ἐπὶ τὸ συμφέρον ἔλθοιεν.

18 Es fácil inducir a esto a nuestra ciudad, pero los lacedemonios aún ahora son difíciles de convencer; porque han heredado la falsa idea de que el gobernar es para ellos algo hereditario[12]. Y si alguien les demostrara que este honor es más nuestro que suyo, inmediatamente abandonarían el examen minucioso de estos asuntos para volverse a su conveniencia.

[19] ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους ἐντεῦθεν ἄρχεσθαι καὶ μὴ πρότερον περὶ τῶν ὁμολογουμένων συμβουλεύειν, πρὶν περὶ τῶν ἀμφισβητουμένων ἡμᾶς ἐδίδαξαν: ἐμοὶ δ᾽ οὖν ἀμφοτέρων ἕνεκα προσήκει περὶ ταῦτα ποιήσασθαι τὴν πλείστην διατριβήν, μάλιστα μὲν ἵνα προὔργου τι γένηται καὶ παυσάμενοι τῆς πρὸς ἡμᾶς αὐτοὺς φιλονικίας κοινῇ τοῖς βαρβάροις πολεμήσωμεν,

19 Así, sería preciso que los demás oradores empezaran por aquí y no que deliberaran sobre asuntos en los que se está de acuerdo, antes de informarnos de aquéllos que se discuten. A eso es a lo que a mí me interesa dedicar la mayor parte del tiempo por un doble motivo: sobre todo, para que se obtenga alguna ventaja y luchemos en común contra los bárbaros haciendo cesar la competencia entre nosotros;

[20] εἰ δὲ τοῦτ᾽ ἐστὶν ἀδύνατον, ἵνα δηλώσω τοὺς ἐμποδὼν ὄντας τῇ τῶν Ἑλλήνων εὐδαιμονίᾳ, καὶ πᾶσι γένηται φανερὸν ὅτι καὶ πρότερον ἡ πόλις ἡμῶν δικαίως τῆς θαλάττης ἦρξε καὶ νῦν οὐκ ἀδίκως ἀμφισβητεῖ τῆς ἡγεμονίας.

20 pero, si esto es imposible, para dejar en claro quiénes son un estorbo para la felicidad de los griegos[13], y que todos vean que también antes nuestra ciudad gobernó el mar con justicia[14] y, no sin ella, pretende ahora la hegemonía.

Atenas merece la hegemonía (21-99)

[21] τοῦτο μὲν γὰρ εἰ δεῖ τούτους ἐφ᾽ ἑκάστῳ τιμᾶσθαι τῶν ἔργων, τοὺς ἐμπειροτάτους ὄντας καὶ μεγίστην δύναμιν ἔχοντας, ἀναμφισβητήτως ἡμῖν προσήκει τὴν ἡγεμονίαν ἀπολαβεῖν, ἥν περ πρότερον ἐτυγχάνομεν ἔχοντες: οὐδεὶς γὰρ ἂν ἑτέραν πόλιν ἐπιδείξειε τοσοῦτον ἐν τῷ πολέμῳ τῷ

21 Porque si hay que honrar en cada empresa a quienes son más expertos y poderosos, sin discusión nos corresponde tomar la hegemonía que antes tuvimos; pues nadie podría señalar otra ciudad que se haya destacado tanto en una guerra por tierra, como la nuestra se distinguió en los peligros marítimos.

---

[12] El mismo argumento que aquí emplea Isócrates lo usan los argivos en HERÓD., VII 148, cuando quieren compartir con Esparta la hegemonía de la alianza contra Persia, a lo que se niegan los espartanos. Es de destacar que, como señala TUCÍDIDES (I 139, 2; II 7, 4), los espartanos orientaron su propaganda contra Atenas durante la guerra del Peloponeso con la frase «autonomía para todos los griegos». Más tarde, también la liga de Corinto hablará de la «libertad de los griegos» (cf. PLAT., *Menéxeno* 244 D).

[13] Los espartanos.

[14] Clara justificación del imperialismo naval ateniense

κατὰ γῆν ὑπερέχουσαν, ὅσον τὴν ἡμετέραν ἐν τοῖς κινδύνοις τοῖς κατὰ θάλατταν διαφέρουσαν.

[22] τοῦτο δ᾽ εἴ τινες ταύτην μὲν μὴ νομίζουσι δικαίαν εἶναι τὴν κρίσιν, ἀλλὰ πολλὰς τὰς μεταβολὰς γίγνεσθαι (τὰς γὰρ δυναστείας οὐδέποτε τοῖς αὐτοῖς παραμένειν), ἀξιοῦσι δὲ τὴν ἡγεμονίαν ἔχειν ὥσπερ ἄλλο τι γέρας ἢ τοὺς πρώτους τυχόντας ταύτης τῆς τιμῆς ἢ τοὺς πλείστων ἀγαθῶν αἰτίους τοῖς Ἕλλησιν ὄντας, ἡγοῦμαι καὶ τούτους εἶναι μεθ᾽ ἡμῶν:

22 Además, si algunos piensan que esta decisión no es justa, sino que las cosas han cambiado mucho, porque el poder no permanece siempre en los mismos, y consideran merecedores de tener la hegemonía como cualquier otra recompensa, o a los que primero gozaron de este honor o a los responsables de los mayores bienes para los griegos, creo que también éstos están de nuestra parte[15];

[23] ὅσῳ γὰρ ἄν τις πορρωτέρωθεν σκοπῇ περὶ τούτων ἀμφοτέρων, τοσούτῳ πλέον ἀπολείψομεν τοὺς ἀμφισβητοῦντας. ὁμολογεῖται μὲν γὰρ τὴν πόλιν ἡμῶν ἀρχαιοτάτην εἶναι καὶ μεγίστην καὶ παρὰ πᾶσιν ἀνθρώποις ὀνομαστοτάτην: οὕτω δὲ καλῆς τῆς ὑποθέσεως οὔσης, ἐπὶ τοῖς ἐχομένοις τούτων ἔτι μᾶλλον ἡμᾶς προσήκει τιμᾶσθαι.

23 pues cuanto desde más lejos se examinen estas dos circunstancias, tanto más aventajaremos a los rivales. Está reconocido, en efecto, que nuestra ciudad es la más antigua, la mayor y la más nombrada entre todos los hombres. Partiendo de tan noble presupuesto, conviene que seamos aún más honrados por lo que sigue.

[24] ταύτην γὰρ οἰκοῦμεν οὐχ ἑτέρους ἐκβαλόντες οὐδ᾽ ἐρήμην καταλαβόντες οὐδ᾽ ἐκ πολλῶν ἐθνῶν μιγάδες συλλεγέντες, ἀλλ᾽ οὕτω καλῶς καὶ γνησίως γεγόναμεν, ὥστ᾽ ἐξ ἧσπερ ἔφυμεν, ταύτην ἔχοντες ἅπαντα τὸν χρόνον διατελοῦμεν, αὐτόχθονες ὄντες καὶ τῶν ὀνομάτων τοῖς αὐτοῖς, οἷσπερ τοὺς οἰκειοτάτους,

24 Pues habitamos esta ciudad sin haber expulsado a otros, sin haberla conquistado desierta, ni habiendo reunido mezclas de muchos pueblos; por el contrario, hemos nacido con tanta nobleza y autenticidad como la tierra de la que procedemos, y hemos vivido todo el tiempo sin perderla, siendo autóctonos[16], y podemos llamar a la ciudad con las mismas expresiones que a los más íntimos.

[25] τὴν πόλιν ἔχοντες προσειπεῖν: μόνοις γὰρ ἡμῖν τῶν Ἑλλήνων τὴν αὐτὴν τροφὸν καὶ πατρίδα καὶ μητέρα καλέσαι προσήκει. καίτοι χρὴ τοὺς εὐλόγως μέγα φρονοῦντας καὶ περὶ τῆς ἡγεμονίας δικαίως ἀμφισβητοῦντας καὶ τῶν πατρίων πολλάκις μεμνημένους τοιαύτην τὴν ἀρχὴν τοῦ γένους ἔχοντας φαίνεσθαι.

25 De los griegos, sólo a nosotros está reservado llamar a la misma ciudad nodriza, patria y madre. Es preciso, ciertamente, que quienes están orgullosos con motivo, pretendan justamente la hegemonía, y al recordar con frecuencia sus tradiciones, puedan mostrar que el origen de su linaje es semejante al nuestro.

---

[15] En resumen, tanto por sus méritos ante los persas (la alusión a los «peligros marítimos») como por la antigüedad de su hegemonía Atenas debe tener la dirección de la guerra contra Persia.

[16] Es frecuente esta referencia a la autoctonía de Atenas; cf. TUC., II 36, y PLAT., *Menéxeno* 237 D.

[26] τὰ μὲν οὖν ἐξ ἀρχῆς ὑπάρξαντα καὶ παρὰ τῆς τύχης δωρηθέντα τηλικαῦθ᾽ ἡμῖν τὸ μέγεθός ἐστιν: ὅσων δὲ τοῖς ἄλλοις ἀγαθῶν αἴτιοι γεγόναμεν, οὕτως ἂν κάλλιστ᾽ ἐξετάσαιμεν, εἰ τόν τε χρόνον ἀπ᾽ ἀρχῆς καὶ τὰς πράξεις τὰς τῆς πόλεως ἐφεξῆς διέλθοιμεν: εὑρήσομεν γὰρ αὐτὴν οὐ μόνον τῶν πρὸς τὸν πόλεμον κινδύνων ἀλλὰ καὶ τῆς ἄλλης κατασκευῆς,

26 Tal es nuestra grandeza, que existió desde el principio y fue donada por el destino. De cuántos beneficios hemos sido autores para otros, lo examinaríamos mejor si recorriéramos por orden desde el principio la historia y las hazañas de la ciudad. Descubriremos, en efecto, que ella tiene la responsabilidad de casi todo, tanto en los peligros bélicos como en la restante organización,

[27] ἐν ᾗ κατοικοῦμεν καὶ μεθ᾽ ἧς πολιτευόμεθα καὶ δι᾽ ἣν ζῆν δυνάμεθα, σχεδὸν ἁπάσης αἰτίαν οὖσαν. ἀνάγκη δὲ προαιρεῖσθαι τῶν εὐεργεσιῶν μὴ τὰς διὰ μικρότητα διαλαθούσας καὶ κατασιωπηθείσας, ἀλλὰ τὰς διὰ τὸ μέγεθος ὑπὸ πάντων ἀνθρώπων καὶ πάλαι καὶ νῦν καὶ πανταχοῦ καὶ λεγομένας καὶ μνημονευομένας.

27 según la cual convivimos, con la que nos gobernamos y por la que podemos vivir. Pero es necesario elegir de las buenas acciones no las que se olvidaron y silenciaron por su insignificancia, sino las que por su grandeza se comentan y recuerdan entre todos los hombres en todas partes, tanto antes como ahora.

[28] πρῶτον μὲν τοίνυν, οὗ πρῶτον ἡ φύσις ἡμῶν ἐδεήθη, διὰ τῆς πόλεως τῆς ἡμετέρας ἐπορίσθη: καὶ γὰρ εἰ μυθώδης ὁ λόγος γέγονεν, ὅμως αὐτῷ καὶ νῦν ῥηθῆναι προσήκει. Δήμητρος γὰρ ἀφικομένης εἰς τὴν χώραν ὅτ᾽ ἐπλανήθη τῆς Κόρης ἁρπασθείσης, καὶ πρὸς τοὺς προγόνους ἡμῶν εὐμενῶς διατεθείσης ἐκ τῶν εὐεργεσιῶν ἃς οὐχ οἷόν τ᾽ ἄλλοις ἢ τοῖς μεμυημένοις ἀκούειν, καὶ δούσης δωρεὰς διττὰς αἵπερ μέγισται τυγχάνουσιν οὖσαι, τούς τε καρπούς, οἳ τοῦ μὴ θηριωδῶς ζῆν ἡμᾶς αἴτιοι γεγόνασι, καὶ τὴν τελετήν, ἧς οἱ μετασχόντες περί τε τῆς τοῦ

28 En primer lugar, por medio de nuestra ciudad se consiguió lo que primero precisa nuestra naturaleza; y aunque la tradición haya quedado como algo legendario, conviene, no obstante, relatarla[17]. Al llegar Deméter a esta tierra, cuando estaba errante tras el rapto de Core[18] fue benévolamente tratada por nuestros antepasados, con unos servicios que no pueden entender sino los iniciados, y les dio dos tipos de recompensas: las más importantes fueron las cosechas[19], causa de que no vivamos como fieras, y la celebración de los misterios, que dan a los iniciados las más dulces esperanzas para el final de la vida y para toda la eternidad.

---

[17] Desde el parágrafo 28 al 99 se extiende la justificación mítico-histórica de los derechos de Atenas a la hegemonía. El uso del mito, cosa que hace frecuentemente Isócrates, nos recuerda mucho a Platón.

[18] Perséfone (nombre no griego) o también Core (Kóré «la muchacha») aparece ya en Homero como esposa de Hades, el dios del mundo de ultratumba. En HESÍODO, *Teogonía* 912 ss., se llama por vez primera Deméter a su madre y se cuenta el rapto de Core por Hades, más detallado en el Himno a Deméter homérico. Al ser Hades (Plutón) señor de la riqueza subterránea (*ploutos*) se dio a Core el poder sobre las cosechas. Generalmente se menciona a Deméter y Core juntas (*to theó*, «las dos diosas»), especialmente en los misterios de Eleusis. Este mito fue frecuentísimamente usado en la antigüedad clásica; ver OVIDIO, *Fastos* IV 393-620, y *Metamorfosis* V 385 ss.

[19] Cf. PLAT., *Menéxeno* 237 E.

βίου τελευτῆς καὶ τοῦ σύμπαντος αἰῶνος ἡδίους τὰς ἐλπίδας ἔχουσιν,

[29] οὕτως ἡ πόλις ἡμῶν οὐ μόνον θεοφιλῶς ἀλλὰ καὶ φιλανθρώπως ἔσχεν, ὥστε κυρία γενομένη τοσούτων ἀγαθῶν οὐκ ἐφθόνησε τοῖς ἄλλοις, ἀλλ᾽ ὧν ἔλαβεν ἅπασι μετέδωκεν. καὶ τὰ μὲν ἔτι καὶ νῦν καθ᾽ ἕκαστον τὸν ἐνιαυτὸν δείκνυμεν, τῶν δὲ συλλήβδην τάς τε χρείας καὶ τὰς ἐργασίας καὶ τὰς ὠφελίας τὰς ἀπ᾽ αὐτῶν γιγνομένας ἐδίδαξεν. καὶ τούτοις ἀπιστεῖν μικρῶν ἔτι προστεθέντων οὐδεὶς ἂν ἀξιώσειεν.

29 Nuestra ciudad amó tanto a los dioses y a los hombres que cuando fue señora de bienes tan importantes, no los ocultó a los demás, sino que hizo partícipes a todos de lo que recibió. Y todavía en la actualidad celebramos los misterios cada año, y la ciudad enseñó en breve a todos los usos, los cultivos y las ventajas que resultan de las cosechas. Nadie podría en justicia desconfiar de esto si añadimos aún unas pocas palabras.

[30] πρῶτον μὲν γάρ, ἐξ ὧν ἄν τις καταφρονήσειε τῶν λεγομένων ὡς ἀρχαίων ὄντων, ἐκ τῶν αὐτῶν τούτων εἰκότως ἂν καὶ τὰς πράξεις γεγενῆσθαι νομίσειεν: διὰ γὰρ τὸ πολλοὺς εἰρηκέναι καὶ πάντας ἀκηκοέναι προσήκει μὴ καινὰ μὲν πιστὰ δὲ δοκεῖν εἶναι τὰ λεγόμενα περὶ αὐτῶν. ἔπειτ᾽ οὐ μόνον ἐνταῦθα καταφυγεῖν ἔχομεν, ὅτι τὸν λόγον καὶ τὴν φήμην ἐκ πολλοῦ παρειλήφαμεν, ἀλλὰ καὶ σημείοις μείζοσιν ἢ τούτοις ἔστιν ἡμῖν χρήσασθαι περὶ αὐτῶν.

30 Porque, en primer lugar, si alguien despreciase la tradición histórica por tratarse de algo antiguo, por eso mismo tendría que considerar que se han producido los hechos; en efecto, debido a que muchos los han contado y todos los han oído, conviene dar crédito a lo que se ha dicho sobre estas cosas, aunque no sean recientes. En segundo lugar, no sólo podemos refugiarnos en que la tradición histórica y la fama las hemos heredado desde hace mucho tiempo, sino que también podemos utilizar pruebas de más peso que éstas.

[31] αἱ μὲν γὰρ πλεῖσται τῶν πόλεων ὑπόμνημα τῆς παλαιᾶς εὐεργεσίας ἀπαρχὰς τοῦ σίτου καθ᾽ ἕκαστον τὸν ἐνιαυτὸν ὡς ἡμᾶς ἀποπέμπουσι, ταῖς δ᾽ ἐκλειπούσαις πολλάκις ἡ Πυθία προσέταξεν ἀποφέρειν τὰ μέρη τῶν καρπῶν καὶ ποιεῖν πρὸς τὴν πόλιν τὴν ἡμετέραν τὰ πάτρια. καίτοι περὶ τίνων χρὴ μᾶλλον πιστεύειν ἢ περὶ ὧν ὅ τε θεὸς ἀναιρεῖ καὶ πολλοῖς τῶν Ἑλλήνων συνδοκεῖ, καὶ τά τε πάλαι ῥηθέντα τοῖς παροῦσιν ἔργοις συμμαρτυρεῖ, καὶ τὰ νῦν γιγνόμενα τοῖς ὑπ᾽ ἐκείνων εἰρημένοις ὁμολογεῖ;

31 Pues la mayoría de las ciudades, como recuerdo del antiguo favor, nos envían cada año las primicias del trigo, y, a algunas que dejaban de hacerlo, la Pitia les ordenó llevar su parte de las cosechas y cumplir las tradiciones con nuestra ciudad[20]. ¿Hay algo más creíble que aquello que la divinidad prescribe, acepta la mayoría de los griegos, confirma con los hechos actuales lo que se ha dicho desde antiguo y, al ocurrir ahora, concuerda con las palabras de aquéllos?

[20] Estas primicias eran 1/600 parte de la cosecha de cebada y 1/1200 de la de trigo; sin embargo, había ciudades que ya no cumplían esta tradición, como nos dice el mismo Isócrates (MATHIEU, *Isocrate*… II, pág. 22, nota 1).

[32] χωρὶς δὲ τούτων, ἢν ἅπαντα ταῦτ᾽ ἐάσαντες ἀπὸ τῆς ἀρχῆς σκοπῶμεν, εὑρήσομεν ὅτι τὸν βίον οἱ πρῶτοι φανέντες ἐπὶ γῆς οὐκ εὐθὺς οὕτως ὥσπερ νῦν ἔχοντα κατέλαβον, ἀλλὰ κατὰ μικρὸν αὐτοὶ συνεπορίσαντο. τίνας οὖν χρὴ μᾶλλον νομίζειν ἢ δωρεὰν παρὰ τῶν θεῶν λαβεῖν ἢ ζητοῦντας αὐτοὺς ἐντυχεῖν;

32 Al margen de esto, si dejáramos todas estas razones y mirásemos con atención desde el principio, descubriríamos que los primeros que aparecieron sobre la tierra no encontraron la vida tal y como es ahora, sino que poco a poco se la procuraron[21]. ¿A quiénes, pues, hay que estimar más que a los que la recibieron de los dioses como recompensa o la hallaron ellos mismos tras buscarla?

[33] οὐ τοὺς ὑπὸ πάντων ὁμολογουμένους καὶ πρώτους γενομένους καὶ πρός τε τὰς τέχνας εὐφυεστάτους ὄντας καὶ πρὸς τὰ τῶν θεῶν εὐσεβέστατα διακειμένους; καὶ μὴν ὅσης προσήκει τιμῆς τυγχάνειν τοὺς τηλικούτων ἀγαθῶν αἰτίους, περίεργον διδάσκειν: οὐδεὶς γὰρ ἂν δύναιτο δωρεὰν τοσαύτην τὸ μέγεθος εὑρεῖν, ἥ τις ἴση τοῖς πεπραγμένοις ἐστίν.

33 ¿No a quienes todos reconocen que han sido los primeros que existieron, los más dotados para las artes y los más piadosos con los dioses? Es superfluo señalar qué honor merecen alcanzar los responsables de tantos bienes. Porque nadie podría encontrar una recompensa tan grande que sea igual a sus acciones.

[34] περὶ μὲν οὖν τοῦ μεγίστου τῶν εὐεργετημάτων καὶ πρώτου γενομένου καὶ πᾶσι κοινοτάτου ταῦτ᾽ εἰπεῖν ἔχομεν: περὶ δὲ τοὺς αὐτοὺς χρόνους ὁρῶσα τοὺς μὲν βαρβάρους τὴν πλείστην τῆς χώρας κατέχοντας, τοὺς δ᾽ Ἕλληνας εἰς μικρὸν τόπον κατακεκλειμένους καὶ διὰ σπανιότητα τῆς γῆς ἐπιβουλεύοντάς τε σφίσιν αὐτοῖς καὶ στρατείας ἐπ᾽ ἀλλήλους ποιουμένους, καὶ τοὺς μὲν δι᾽ ἔνδειαν τῶν καθ᾽ ἡμέραν τοὺς δὲ διὰ τὸν πόλεμον ἀπολλυμένους,

34 Del mayor de los beneficios, el primero en ocurrir y compartido por todos, esto podemos decir. Por aquella misma época, vio nuestra ciudad que los bárbaros ocupaban la mayor parte del territorio, que los griegos, en cambio, estaban encerrados en un pequeño espacio y que, por la insuficiencia de la tierra, conspiraban entre ellos y hacían expediciones militares contra sí; que unos morían por la falta del sustento cotidiano y otros por la guerra.

[35] οὐδὲ ταῦθ᾽ οὕτως ἔχοντα περιεῖδεν, ἀλλ᾽ ἡγεμόνας εἰς τὰς πόλεις ἐξέπεμψεν, οἳ παραλαβόντες τοὺς μάλιστα βίου δεομένους, στρατηγοὶ καταστάντες αὐτῶν καὶ πολέμῳ κρατήσαντες τοὺς βαρβάρους, πολλὰς μὲν ἐφ᾽ ἑκατέρας τῆς ἠπείρου πόλεις ἔκτισαν, ἁπάσας δὲ τὰς νήσους κατῴκισαν, ἀμφοτέρους δὲ καὶ τοὺς ἀκολουθήσαντας καὶ τοὺς ὑπομείναντας ἔσωσαν:

35 Estando así la situación, no la miró con indiferencia, sino que envió generales a las ciudades, que reunieron a los más necesitados, se hicieron sus jefes militares y, tras vencer a los bárbaros en la guerra, fundaron muchas ciudades en uno y otro continente, colonizaron todas las islas y salvaron tanto a los que les acompañaron como a los que se quedaron.

[21] Sobre el progreso de la civilización, véase JENÓFANES (frag. 18, DIELS) y ESQUILO, *Prometeo encadenado* 447 ss.

[36] τοῖς μὲν γὰρ ἱκανὴν τὴν οἴκοι χώραν κατέλιπον, τοῖς δὲ πλείω τῆς ὑπαρχούσης ἐπόρισαν: ἅπαντα γὰρ περιεβάλοντο τὸν τόπον, ὃν νῦν τυγχάνομεν κατέχοντες. ὥστε καὶ τοῖς ὕστερον βουληθεῖσιν ἀποικίσαι τινὰς καὶ μιμήσασθαι τὴν πόλιν τὴν ἡμετέραν πολλὴν ῥᾳστώνην ἐποίησαν: οὐ γὰρ αὐτοὺς ἔδει κτωμένους χώραν διακινδυνεύειν, ἀλλ᾽ εἰς τὴν ὑφ᾽ ἡμῶν ἀφορισθεῖσαν,

36 En efecto, a estos últimos les dejaron tierra suficiente en su patria y a aquéllos les proporcionaron más de la que tenían; pues adquirieron todo el espacio que ahora tenemos[22]. De esta forma dieron las mayores facilidades a los que después quisieron fundar colonias e imitar a nuestra ciudad, pues no tenían que arrostrar peligros por la adquisición de territorio, sino que fueron a habitar el lugar delimitado por nosotros.

[37] εἰς ταύτην οἰκεῖν ἰόντας. καίτοι τίς ἂν ταύτης ἡγεμονίαν ἐπιδείξειεν ἢ πατριωτέραν, τῆς πρότερον γενομένης πρὶν τὰς πλείστας οἰκισθῆναι τῶν Ἑλληνίδων πόλεων, ἢ μᾶλλον συμφέρουσαν, τῆς τοὺς μὲν βαρβάρους ἀναστάτους ποιησάσης, τοὺς δ᾽ Ἕλληνας εἰς τοσαύτην εὐπορίαν προαγαγούσης;

37 ¿Quién podría señalar una hegemonía más paternal que ésta, que existía antes de la fundación de la mayoría de las ciudades griegas o más útil que la que puso en fuga a los bárbaros y condujo a los griegos a tal prosperidad?

[38] οὐ τοίνυν, ἐπειδὴ τὰ μέγιστα συνδιέπραξε, τῶν ἄλλων ὠλιγώρησεν, ἀλλ᾽ ἀρχὴν μὲν ταύτην ἐποιήσατο τῶν εὐεργεσιῶν, τροφὴν τοῖς δεομένοις εὑρεῖν, ἥνπερ χρὴ τοὺς μέλλοντας καὶ περὶ τῶν ἄλλων καλῶς διοικήσειν, ἡγουμένη δὲ τὸν βίον τὸν ἐπὶ τούτοις μόνον οὔπω τοῦ ζῆν ἐπιθυμεῖν ἀξίως ἔχειν οὕτως ἐπεμελήθη καὶ τῶν λοιπῶν, ὥστε τῶν παρόντων τοῖς ἀνθρώποις ἀγαθῶν, ὅσα μὴ παρὰ θεῶν ἔχομεν ἀλλὰ δι᾽ ἀλλήλους ἡμῖν γέγονε, μηδὲν μὲν ἄνευ τῆς πόλεως τῆς ἡμετέρας εἶναι, τὰ δὲ πλεῖστα διὰ ταύτην γεγενῆσθαι.

38 No se olvidó de otras cosas, mientras llevó a cabo éstas tan importantes, sino que el primero de sus favores fue encontrar alimento para los necesitados[23], lo que deben hacer quienes quieren administrar convenientemente el resto de los bienes. De la misma manera, al pensar que una vida en sólo estas condiciones no merece desearse vivir, se preocupó tanto de las demás cosas, que de los bienes presentes de los hombres, de cuantos no tenemos por los dioses, sino que hemos alcanzado por nosotros mismos, ninguno existiría sin el concurso de nuestra ciudad, y la mayoría se han logrado gracias a ella.

[39] παραλαβοῦσα γὰρ τοὺς Ἕλληνας ἀνόμως ζῶντας καὶ σποράδην οἰκοῦντας, καὶ τοὺς μὲν ὑπὸ δυναστειῶν ὑβριζομένους τοὺς δὲ δι᾽ ἀναρχίαν ἀπολλυμένους, καὶ τούτων τῶν κακῶν αὐτοὺς ἀπήλλαξε, τῶν μὲν κυρία γενομένη, τοῖς δ᾽ αὑτὴν παράδειγμα ποιήσασα: πρώτη γὰρ καὶ νόμους ἔθετο καὶ πολιτείαν κατεστήσατο.

39 Pues encontró a los griegos que vivían sin leyes y habitaban aquí y allá, unos maltratados por tiranías, otros muriendo por falta de gobierno, y los liberó de estos males, siendo señora de irnos y modelo para otros. Fue la

---

[22] Sobre la colonización ateniense, véase *Panatenaico* 43-44, 160, 190, y TUC., I 2-6.

[23] Lo mismo se dice en *Busiris* 15; debe tratarse de un lugar común.

primera que estableció leyes y creó una constitución[24].

[40] δῆλον δ᾽ ἐκεῖθεν: οἱ γὰρ ἐν ἀρχῇ περὶ τῶν φονικῶν ἐγκαλέσαντες, καὶ βουληθέντες μετὰ λόγου καὶ μὴ μετὰ βίας διαλύσασθαι τὰ πρὸς ἀλλήλους, ἐν τοῖς νόμοις τοῖς ἡμετέροις τὰς κρίσεις ἐποιήσαντο περὶ αὐτῶν. καὶ μὲν δὴ καὶ τῶν τεχνῶν τάς τε πρὸς τἀναγκαῖα τοῦ βίου χρησίμας καὶ τὰς πρὸς ἡδονὴν μεμηχανημένας, τὰς μὲν εὑροῦσα τὰς δὲ δοκιμάσασα χρῆσθαι τοῖς ἄλλοις παρέδωκεν.

40 Y he aquí la prueba: quienes al principio presentaron una querella por homicidio, y quisieron reconciliarse con la palabra y no con la violencia, hicieron de acuerdo con nuestras leyes sus propios juicios sobre ello[25]. En cuanto a las artes, tanto las que son útiles para las necesidades de la vida como las ideadas para agradar[26], unas las descubrió nuestra ciudad, otras las transmitió a los demás, después de probar su uso.

[41] τὴν τοίνυν ἄλλην διοίκησιν οὕτω φιλοξένως κατεσκευάσατο καὶ πρὸς ἅπαντας οἰκείως, ὥστε καὶ τοῖς χρημάτων δεομένοις καὶ τοῖς ἀπολαῦσαι τῶν ὑπαρχόντων ἐπιθυμοῦσιν ἀμφοτέροις ἁρμόττειν, καὶ μήτε τοῖς εὐδαιμονοῦσι μήτε τοῖς δυστυχοῦσιν ἐν ταῖς αὑτῶν ἀχρήστως ἔχειν, ἀλλ᾽ ἑκατέροις αὐτῶν εἶναι παρ᾽ ἡμῖν, τοῖς μὲν ἡδίστας διατριβάς, τοῖς δὲ ἀσφαλεστάτην καταφυγήν.

41 Organizó el resto de su administración con tanta hospitalidad y respeto a todos[27], que tanto se adapta a los que carecen de fortuna como a los que quieren disfrutar de sus bienes, y tampoco es inútil a los que son dichosos o desafortunados en sus ciudades; por el contrario, hay entre nosotros para unos las más gratas distracciones, para otros el refugio más seguro.

[42] ἔτι δὲ τὴν χώραν οὐκ αὐτάρκη κεκτημένων ἑκάστων, ἀλλὰ τὰ μὲν ἐλλείπουσαν τὰ δὲ πλείω τῶν ἱκανῶν φέρουσαν, καὶ πολλῆς ἀπορίας οὔσης τὰ μὲν ὅπου χρὴ διαθέσθαι τὰ δ᾽ ὁπόθεν εἰσαγαγέσθαι, καὶ ταύταις ταῖς συμφοραῖς ἐπήμυνεν: ἐμπόριον γὰρ ἐν μέσῳ τῆς Ἑλλάδος τὸν Πειραιᾶ κατεσκευάσατο, τοσαύτην ἔχονθ᾽ ὑπερβολήν, ὥσθ᾽ ἃ παρὰ τῶν ἄλλων ἓν παρ᾽ ἑκάστων χαλεπόν ἐστι λαβεῖν, ταῦθ᾽ ἅπαντα παρ᾽ αὐτῆς ῥᾴδιον εἶναι πορίσασθαι.

42 Además, como el territorio que ha adquirido cada pueblo no es autosuficiente, sino que carece de unas cosas y tiene excedentes de otras, y como es muy difícil encontrar un lugar donde vender unas e importar otras, nuestra ciudad también ayudaba en estas dificultades; pues estableció como un mercado en medio de Grecia, el Pireo, cuya abundancia es tal, que lo que en otros mercados es difícil de encontrar incluso por separado, todo ello es fácil adquirirlo en él[28].

---

[24] Ya vimos las razones que da A. LEVI, *Isocrate*…, pág. 100, para que no se traduzca politeía como «constitución», sino como «gobierno»; a pesar de ello, nosotros lo traducimos por el primer término por entenderlo en un sentido más amplio, prácticamente equivalente al de «gobierno».

[25] Alusión al enorme prestigio del Areópago.

[26] Una idea favorita de todo el pensamiento griego del siglo *IV* a. C. es la del progreso de las artes (*téchnai*) que, tras el descubrimiento de las cosas necesarias físicamente han llegado incluso a satisfacer las necesidades espirituales. (Cf. ARISTÓT., *Metafísica* A. 1 981 b 17.)

[27] Lo mismo dice TUC., en II 39, 1, poniéndolo en boca de Pericles.

[28] Cf. TUC., II 38, 2.

[43] τῶν τοίνυν τὰς πανηγύρεις καταστησάντων δικαίως ἐπαινουμένων ὅτι τοιοῦτον ἔθος ἡμῖν παρέδοσαν, ὥστε σπεισαμένους πρὸς ἀλλήλους καὶ τὰς ἔχθρας τὰς ἐνεστηκυίας διαλυσαμένους συνελθεῖν εἰς ταὐτόν, καὶ μετὰ ταῦτ᾽ εὐχὰς καὶ θυσίας κοινὰς ποιησαμένους ἀναμνησθῆναι μὲν τῆς συγγενείας τῆς πρὸς ἀλλήλους ὑπαρχούσης, εὐμενεστέρως δ᾽ εἰς τὸν λοιπὸν χρόνον διατεθῆναι πρὸς ἡμᾶς αὐτούς, καὶ τάς τε παλαιὰς ξενίας ἀνανεώσασθαι καὶ καινὰς ἑτέρας ποιήσασθαι,

43 Con razón son aplaudidos quienes establecieron las fiestas solemnes porque nos transmitieron esta costumbre de que, después de hacer libaciones y terminar las enemistades existentes, nos reunamos en un mismo lugar y que, tras esto, con invocaciones y sacrificios celebrados en común, nos acordemos del parentesco que existe entre nosotros, nos tratemos unos con otros con benevolencia en el futuro, renovemos los antiguos lazos de hospitalidad y hagamos otros nuevos;

[44] καὶ μήτε τοῖς ἰδιώταις μήτε τοῖς διενεγκοῦσι τὴν φύσιν ἀργὸν εἶναι τὴν διατριβήν, ἀλλ᾽ ἀθροισθέντων τῶν Ἑλλήνων ἐγγενέσθαι τοῖς μὲν ἐπιδείξασθαι τὰς αὑτῶν εὐτυχίας, τοῖς δὲ θεάσασθαι τούτους πρὸς ἀλλήλους ἀγωνιζομένους, καὶ μηδετέρους ἀθύμως διάγειν, ἀλλ᾽ ἑκατέρους ἔχειν ἐφ᾽ οἷς φιλοτιμηθῶσιν, οἱ μὲν ὅταν ἴδωσι τοὺς ἀθλητὰς αὑτῶν ἕνεκα πονοῦντας, οἱ δ᾽ ὅταν ἐνθυμηθῶσιν ὅτι πάντες ἐπὶ τὴν σφετέραν θεωρίαν ἥκουσι, — τοσούτων τοίνυν ἀγαθῶν διὰ τὰς συνόδους ἡμῖν γιγνομένων οὐδ᾽ ἐν τούτοις ἡ πόλις ἡμῶν ἀπελείφθη.

44 que no sea ocioso este tiempo ni para las personas corrientes ni para los que se distinguen por sus condiciones naturales, sino que, una vez reunidos los griegos, unos muestren sus facultades, y otros los vean compitiendo entre sí, sin que nadie se aburra, y cada uno tenga un motivo de orgullo: los unos cuando vean que los atletas compiten en su honor y los otros al pensar que todos vienen a contemplarlos. Y aunque estas reuniones nos producen tantos bienes, ni siquiera en esto se dejó aventajar nuestra ciudad.

[45] καὶ γὰρ θεάματα πλεῖστα καὶ κάλλιστα κέκτηται, τὰ μὲν ταῖς δαπάναις ὑπερβάλλοντα, τὰ δὲ κατὰ τὰς τέχνας εὐδοκιμοῦντα, τὰ δ᾽ ἀμφοτέροις τούτοις διαφέροντα, καὶ τὸ πλῆθος τῶν εἰσαφικνουμένων ὡς ἡμᾶς τοσοῦτόν ἐστιν, ὥστ᾽ εἴ τι ἐν τῷ πλησιάζειν ἀλλήλοις ἀγαθόν ἐστι, καὶ τοῦθ᾽ ὑπ᾽ αὐτῆς περιειλῆφθαι. πρὸς δὲ τούτοις καὶ φιλίας εὑρεῖν πιστοτάτας καὶ συνουσίαις ἐντυχεῖν παντοδαπωτάταις μάλιστα παρ᾽ ἡμῖν ἔστιν, ἔτι δ᾽ ἀγῶνας ἰδεῖν, μὴ μόνον τάχους καὶ ῥώμης, ἀλλὰ καὶ λόγων καὶ γνώμης καὶ τῶν ἄλλων ἔργων ἁπάντων, καὶ τούτων ἆθλα μέγιστα.

45 Pues tiene muchos y bellísimos espectáculos, unos extraordinarios por su coste, otros famosos por su arte; algunos, incluso, distinguidos por ambas cosas. Y es tan grande el número de los que nos visitan que, si hay algo bueno en tratar con unos y otros, también esto lo ha comprendido nuestra ciudad. Además, se pueden encontrar entre nosotros las amistades más fieles, y relaciones de todo tipo, e, incluso, presenciar competiciones no sólo de rapidez y fuerza, sino también de oratoria, inteligencia y todas las demás ocupaciones, para las que existen los mayores premios.

[46] πρὸς γὰρ οἷς αὐτὴ τίθησι, καὶ τοὺς ἄλλους διδόναι συναναπείθει: τὰ γὰρ ὑφ᾽ ἡμῶν κριθέντα τοσαύτην λαμβάνει δόξαν ὥστε παρὰ πᾶσιν ἀνθρώποις ἀγαπᾶσθαι. χωρὶς δὲ τούτων αἱ μὲν ἄλλαι πανηγύρεις διὰ πολλοῦ χρόνου συλλεγεῖσαι ταχέως διελύθησαν, ἡ δ᾽ ἡμετέρα πόλις ἅπαντα τὸν αἰῶνα τοῖς ἀφικνουμένοις πανήγυρίς ἐστιν.

46 Pues además de los que ella misma ofrece convence también a otros[29] a que los den; lo que nosotros decidimos goza, en efecto, de tal fama que es muy bien acogido por todos los hombres. Y, aparte de esto, las otras fiestas solemnes se reúnen cada mucho tiempo[30] y se disuelven con rapidez, pero nuestra ciudad es una fiesta solemne durante todo el año para quienes la visitan.

[47] φιλοσοφίαν τοίνυν, ἣ πάντα ταῦτα συνεξεῦρε καὶ συγκατεσκεύασε, καὶ πρός τε τὰς πράξεις ἡμᾶς ἐπαίδευσε καὶ πρὸς ἀλλήλους ἐπράϋνε, καὶ τῶν συμφορῶν τάς τε δι᾽ ἀμαθίαν καὶ τὰς ἐξ ἀνάγκης γιγνομένας διεῖλε, καὶ τὰς μὲν φυλάξασθαι τὰς δὲ καλῶς ἐνεγκεῖν ἐδίδαξεν, ἡ πόλις ἡμῶν κατέδειξε, καὶ λόγους ἐτίμησεν, ὧν πάντες μὲν ἐπιθυμοῦσι, τοῖς δ᾽ ἐπισταμένοις φθονοῦσι,

47 Nuestra ciudad dio a conocer la filosofía[31], que descubrió todo esto, ayudó a establecerlo, nos educó para las acciones, nos apaciguó, y diferenció las desgracias producidas por la ignorancia y las que resultan de la necesidad, y nos enseñó a rechazar las primeras y a soportar bien las segundas. También honró a la oratoria[32], que todos desean, envidiando a quienes la dominan.

[48] συνειδυῖα μὲν ὅτι τοῦτο μόνον ἐξ ἁπάντων τῶν ζῴων ἴδιον ἔφυμεν ἔχοντες, καὶ διότι τούτῳ πλεονεκτήσαντες καὶ τοῖς ἄλλοις ἅπασιν αὐτῶν διηνέγκαμεν, ὁρῶσα δὲ περὶ μὲν τὰς ἄλλας πράξεις οὕτω ταραχώδεις οὔσας τὰς τύχας ὥστε πολλάκις ἐν αὐταῖς καὶ τοὺς φρονίμους ἀτυχεῖν καὶ τοὺς ἀνοήτους κατορθοῦν, τῶν δὲ λόγων τῶν καλῶς καὶ τεχνικῶς ἐχόντων οὐ μετὸν τοῖς φαύλοις, ἀλλὰ ψυχῆς εὖ φρονούσης ἔργον ὄντας,

48 La ciudad sabía que tenemos por naturaleza esta única peculiaridad respecto a todos los animales y que con esta ventaja los superamos en todo lo demás; vio también que es tan mudable la suerte en las demás acciones, que con frecuencia fracasan en ellas los inteligentes y prosperan los necios, pero que los tontos no participan de los discursos hermosos y bien construidos, empresa, por el contrario, de un espíritu bien dotado intelectualmente[33];

[49] καὶ τούς τε σοφοὺς καὶ τοὺς ἀμαθεῖς δοκοῦντας εἶναι ταύτῃ πλεῖστον ἀλλήλων διαφέροντας, ἔτι δὲ τοὺς εὐθὺς ἐξ ἀρχῆς ἐλευθέρως τεθραμμένους ἐκ μὲν ἀνδρίας καὶ πλούτου καὶ τῶν τοιούτων ἀγαθῶν οὐ γιγνωσκομένους, ἐκ δὲ τῶν λεγομένων μάλιστα καταφανεῖς γιγνομένους, καὶ τοῦτο σύμβολον τῆς παιδεύσεως ἡμῶν ἑκάστου

49 y que los sabios y los ignorantes parece que se diferencian sobre todo en esta cuestión; se dio cuenta de que los hombres de origen libre no se reconocen por el valor, riqueza o bienes semejantes, sino que se destacan especialmente por sus discursos, que ésta es la más cierta señal de la educación de cada uno de nosotros y que los que utilizan bien la oratoria no sólo tienen

---

[29] El término *synapeíthein* («convencer») es también utilizado por TUC., en VI 88.

[30] Cf. TUC., II 38,1, y el PSEUDO-*JENOFONTE*, *La República de tos atenienses* 3, 8. En efecto, las Panateneas y las Dionisíacas eran fiestas anuales, mientras que los juegos Olímpicos y Píricos se celebraban cada cuatro años, y los Nemeos e ístmicos cada dos.

[31] JAEGER, *Paideia*…, pág. 834, nota 15, señala que el término philosophía no significa en este pasaje «filosofía».

[32] Lo mismo dice Isócrates en Sobre el cambio de fortunas 295 y 296, y PLAT., en *Leyes* 641. E. KENNEDY, *The Art*…, pág. 175, señala este pasaje como uno de los que denotan el amor de Isócrates por la sensación de poder que da la palabra.

[33] El *lógos* en su doble sentido de lenguaje y espíritu es para Isócrates el *sýmbolon* de la *paídeusis*; por ello, el retórico es el verdadero representante de la cultura (JAEGER, *Paideia*…, pág. 865).

πιστότατον ἀποδεδειγμένον, καὶ τοὺς λόγῳ καλῶς χρωμένους οὐ μόνον ἐν ταῖς αὑτῶν δυναμένους, ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις ἐντίμους ὄντας.

poder en sus propias ciudades, sino que son honrados en las demás.

[50] τοσοῦτον δ᾽ ἀπολέλοιπεν ἡ πόλις ἡμῶν περὶ τὸ φρονεῖν καὶ λέγειν τοὺς ἄλλους ἀνθρώπους, ὥσθ᾽ οἱ ταύτης μαθηταὶ τῶν ἄλλων διδάσκαλοι γεγόνασι, καὶ τὸ τῶν Ἑλλήνων ὄνομα πεποίηκε μηκέτι τοῦ γένους ἀλλὰ τῆς διανοίας δοκεῖν εἶναι, καὶ μᾶλλον Ἕλληνας καλεῖσθαι τοὺς τῆς παιδεύσεως τῆς ἡμετέρας ἢ τοὺς τῆς κοινῆς φύσεως μετέχοντας.

50 Nuestra ciudad aventajó tanto a los demás hombres en el pensamiento y oratoria que sus discípulos han llegado a ser maestros de otros, y ha conseguido que el nombre de griegos se aplique no a la raza, sino a la inteligencia, y que se llame griegos más a los partícipes de nuestra educación que a los de nuestra misma sangre[34].

[51] ἵνα δὲ μὴ δοκῶ περὶ τὰ μέρη διατρίβειν ὑπὲρ ὅλων τῶν πραγμάτων ὑποθέμενος μηδ᾽ ἐκ τούτων ἐγκωμιάζειν τὴν πόλιν ἀπορῶν τὰ πρὸς τὸν πόλεμον αὐτὴν ἐπαινεῖν, ταῦτα μὲν εἰρήσθω μοι πρὸς τοὺς ἐπὶ τοῖς τοιούτοις φιλοτιμουμένους, ἡγοῦμαι δὲ τοῖς προγόνοις ἡμῶν οὐχ ἧττον ἐκ τῶν κινδύνων τιμᾶσθαι προσήκειν ἢ τῶν ἄλλων εὐεργεσιῶν.

51 Para no dar la impresión de que me demoro en los detalles, cuando ofrecí tratar todos los hechos, ni que alabo a la ciudad por estas cosas, pero dejo de aplaudirla en lo que atañe a la guerra, voy a referirme a ello y lo dedico a los aficionados a tales temas. Creo además que hay que honrar a nuestros antepasados por los peligros bélicos, no menos que por sus otras hazañas.

[52] οὐ γὰρ μικροὺς οὐδ᾽ ὀλίγους οὐδ᾽ ἀφανεῖς ἀγῶνας ὑπέμειναν, ἀλλὰ πολλοὺς καὶ δεινοὺς καὶ μεγάλους, τοὺς μὲν ὑπὲρ τῆς αὑτῶν χώρας, τοὺς δ᾽ ὑπὲρ τῆς τῶν ἄλλων ἐλευθερίας: ἅπαντα γὰρ τὸν χρόνον διετέλεσαν κοινὴν πόλιν παρέχοντες καὶ τοῖς ἀδικουμένοις ἀεὶ τῶν Ἑλλήνων ἐπαμύνουσαν.

52 Porque no soportaron ni pequeños ni oscuros combates, sino muchos, peligrosos y de importancia; unos en defensa de su territorio, otros por la libertad de ajenos; pasaron toda su vida ofreciendo la ciudad abierta a todos y socorriendo siempre a los griegos agraviados[35].

[53] διὸ δὴ καὶ κατηγοροῦσί τινες ἡμῶν ὡς οὐκ ὀρθῶς βουλευομένων, ὅτι τοὺς ἀσθενεστέρους εἰθίσμεθα θεραπεύειν, ὥσπερ οὐ μετὰ τῶν ἐπαινεῖν βουλομένων ἡμᾶς τοὺς λόγους ὄντας τοὺς τοιούτους. οὐ γὰρ ἀγνοοῦντες ὅσον διαφέρουσιν αἱ μείζους τῶν συμμαχιῶν πρὸς τὴν ἀσφάλειαν οὕτως ἐβουλευόμεθα περὶ αὐτῶν, ἀλλὰ πολὺ τῶν ἄλλων ἀκριβέστερον

53 Por esto, también algunos nos achacan que no pensamos correctamente, porque estamos acostumbrados a servir a los más débiles, como si estas mismas razones no concordaran con las de los que nos quieren alabar. Decidimos así sobre estos asuntos, no porque ignorábamos cuánto interesan para la seguridad las alianzas con los poderosos; por el contrario, sabíamos

[34] La idea se encuentra ya en Eurípides y en los filósofos cínicos; cf. también *Evágoras*, 47 ss.
[35] Cf. TUC., II 39, 1, y JENOF., *Hel.* V 45.

εἰδότες τὰ συμβαίνοντ᾽ ἐκ τῶν τοιούτων ὅμως ἡρούμεθα τοῖς ἀσθενεστέροις καὶ παρὰ τὸ συμφέρον βοηθεῖν μᾶλλον ἢ τοῖς κρείττοσι τοῦ λυσιτελοῦντος ἕνεκα συναδικεῖν.

mejor que otros lo que resulta de cosas tales, pero, a pesar de ello, preferimos ayudar a los más débiles, incluso contra nuestra conveniencia, antes que cometer una injusticia en compañía de los más fuertes, por obtener una ventaja.

[54] γνοίη δ᾽ ἄν τις καὶ τὸν τρόπον καὶ τὴν ῥώμην τὴν τῆς πόλεως ἐκ τῶν ἱκετειῶν, ἃς ἤδη τινὲς ἡμῖν ἐποιήσαντο. τὰς μὲν οὖν ἢ νεωστὶ γεγενημένας ἢ περὶ μικρῶν ἐλθούσας παραλείψω: πολὺ δὲ πρὸ τῶν Τρωϊκῶν (ἐκεῖθεν γὰρ δίκαιον τὰς πίστεις λαμβάνειν τοὺς ὑπὲρ τῶν πατρίων ἀμφισβητοῦντας) ἦλθον οἵ θ᾽ Ἡρακλέους παῖδες καὶ μικρὸν πρὸ τούτων Ἄδραστος ὁ Ταλαοῦ, βασιλεὺς ὢν Ἄργους,

54 Cualquiera conocería la manera de ser y la fuerza de la ciudad por las súplicas que algunos nos hicieron. Dejaré a un lado las que son recientes o las que pedían cosas de poca importancia; mucho antes de la guerra de Troya —es justo que tomen pruebas de aquí quienes discuten las tradiciones— vinieron los hijos de Heracles, y, poco antes que ellos, Adrasto, hijo de Tálao, que era rey de Argos[36].

[55] οὗτος μὲν ἐκ τῆς στρατείας τῆς ἐπὶ Θήβας δεδυστυχηκώς, καὶ τοὺς ὑπὸ τῇ Καδμείᾳ τελευτήσαντας αὐτὸς μὲν οὐ δυνάμενος ἀνελέσθαι, τὴν δὲ πόλιν ἀξιῶν βοηθεῖν ταῖς κοιναῖς τύχαις καὶ μὴ περιορᾶν τοὺς ἐν τοῖς πολέμοις ἀποθνήσκοντας ἀτάφους γιγνομένους μηδὲ παλαιὸν ἔθος καὶ πάτριον νόμον καταλυόμενον,

55 Este Adrasto al haber fracasado en su expedición contra Tebas y no poder recoger por sí mismo a los que habían muerto bajo la ciudad Cadmea, creía que nuestra ciudad le podría ayudar en la común desgracia, y no permitiría que quedaran sin sepultura los muertos en combate ni abolida una antigua costumbre y una ley ancestral.

[56] οἱ δ᾽ Ἡρακλέους παῖδες φεύγοντες τὴν Εὐρυσθέως ἔχθραν, καὶ τὰς μὲν ἄλλας πόλεις ὑπερορῶντες ὡς οὐκ ἂν δυναμένας βοηθῆσαι ταῖς ἑαυτῶν συμφοραῖς, τὴν δ᾽ ἡμετέραν ἱκανὴν νομίζοντες εἶναι μόνην ἀποδοῦναι χάριν ὑπὲρ ὧν ὁ πατὴρ αὐτῶν ἅπαντας ἀνθρώπους εὐεργέτησεν.

56 Los hijos de Heracles[37], que huían del odio de Euristeo y desdeñaban las otras ciudades por creerlas incapaces de ayudarles en sus desgracias, juzgaron que la nuestra era la única capaz de pagar los beneficios que su padre hizo a todos los hombres.

[57] ἐκ δὴ τούτων ῥᾴδιον κατιδεῖν ὅτι καὶ κατ᾽ ἐκεῖνον τὸν χρόνον ἡ πόλις ἡμῶν ἡγεμονικῶς εἶχε: τίς γὰρ ἂν ἱκετεύειν τολμήσειεν ἢ τοὺς ἥττους αὑτοῦ ἢ τοὺς ὑφ᾽ ἑτέροις ὄντας,

57 Por estos sucesos, es fácil darse cuenta de que también en aquella época nuestra ciudad tenía la hegemonía. Porque ¿quién se hubiera atrevido a suplicar a sus inferiores o a los que

[36] Por el matrimonio de su hija Argía con Polinices, ayudó a éste en su expedición contra Tebas (véase ESQUILO, *Siete contra Tebas*).

[37] Los descendientes de Heracles o Heraclidas fueron expulsados del Peloponeso por Euristeo (véase nota 23 del *Elogio de Helena*) y de allí marcharon a Tracia y luego a Atenas y Maratón; ayudados por Teseo derrotaron a Euristeo, que fue muerto por Hilo, uno de los hijos de Heracles.

παραλιπὼν τοὺς μείζω δύναμιν ἔχοντας, ἄλλως τε καὶ περὶ πραγμάτων οὐκ ἰδίων ἀλλὰ κοινῶν καὶ περὶ ὧν οὐδένας ἄλλους εἰκὸς ἦν ἐπιμεληθῆναι πλὴν τοὺς προεστάναι τῶν Ἑλλήνων ἀξιοῦντας;

están sometidos a otros, y a dejar de lado a los más poderosos, sobre todo tratándose de asuntos no privados, sino comunes, que, sería lógico que no preocuparan a ningún otro sino a quienes se tenían por paladines de los griegos?

[58] ἔπειτ᾽ οὐδὲ ψευσθέντες φαίνονται τῶν ἐλπίδων, δι᾽ ἃς κατέφυγον ἐπὶ τοὺς προγόνους ἡμῶν. ἀνελόμενοι γὰρ πόλεμον ὑπὲρ μὲν τῶν τελευτησάντων πρὸς Θηβαίους, ὑπὲρ δὲ τῶν παίδων τῶν Ἡρακλέους πρὸς τὴν Εὐρυσθέως δύναμιν, τοὺς μὲν ἐπιστρατεύσαντες ἠνάγκασαν ἀποδοῦναι θάψαι τοὺς νεκροὺς τοῖς προσήκουσι, Πελοποννησίων δὲ τοὺς μετ᾽ Εὐρυσθέως εἰς τὴν χώραν ἡμῶν εἰσβαλόντας ἐπεξελθόντες ἐνίκησαν μαχόμενοι κἀκεῖνον τῆς ὕβρεως ἔπαυσαν.

58 Y en efecto, está claro que no se engañaron en las esperanzas con las que se refugiaron entre nuestros antepasados. Porque éstos emprendieron la guerra en defensa de los que habían muerto luchando contra los tebanos, y en defensa de los hijos de Heracles contra el poder de Euristeo; y obligaron a los primeros, marchando contra ellos, a devolver los muertos a sus parientes para enterrarlos, y saliendo al encuentro de los peloponesios que invadieron con Euristeo nuestro territorio, les vencieron en la lucha e hicieron cesar la insolencia de aquél.

[59] θαυμαζόμενοι δὲ καὶ διὰ τὰς ἄλλας πράξεις, ἐκ τούτων τῶν ἔργων ἔτι μᾶλλον εὐδοκίμησαν. οὐ γὰρ παρὰ μικρὸν ἐποίησαν, ἀλλὰ τοσοῦτον τὰς τύχας ἑκατέρων μετήλλαξαν, ὥσθ᾽ ὁ μὲν ἱκετεύειν ἡμᾶς ἀξιώσας βίᾳ τῶν ἐχθρῶν ἅπανθ᾽ ὅσων ἐδεήθη διαπραξάμενος ἀπῆλθεν, Εὐρυσθεὺς δὲ βιάσασθαι προσδοκήσας αὐτὸς αἰχμάλωτος γενόμενος ἱκέτης ἠναγκάσθη καταστῆναι,

59 Aunque ya eran admirados por otras hazañas, con éstas fueron aún más celebrados. Porque no fue poco lo que hicieron, ya que cambiaron tanto la suerte de cada uno, que quien nos suplicó se fue tras lograr cuanto necesitó a despecho de sus enemigos, y, en cambio, Euristeo, que había pensado antes triunfar por la fuerza, fue él mismo prisionero y se vio obligado a suplicar[38];

[60] καὶ τῷ μὲν ὑπερενεγκόντι τὴν ἀνθρωπίνην φύσιν, ὃς ἐκ Διὸς μὲν γεγονὼς ἔτι δὲ θνητὸς ὢν θεοῦ ῥώμην ἔσχε, τούτῳ μὲν ἐπιτάττων καὶ λυμαινόμενος ἅπαντα τὸν χρόνον διετέλεσεν, ἐπειδὴ δ᾽ εἰς ἡμᾶς ἐξήμαρτεν, εἰς τοσαύτην κατέστη μεταβολήν, ὥστ᾽ ἐπὶ τοῖς παισὶ τοῖς ἐκείνου γενόμενος ἐπονειδίστως τὸν βίον ἐτελεύτησεν.

60 él, Euristeo, un ser superior a la naturaleza humana, hijo de Zeus, que aun siendo un mortal tenía la fuerza de un dios, que pasó toda su vida mandando y causando daño, cuando nos lo hizo a nosotros, sufrió un cambio tan grande, que llegó a estar sometido a los hijos de Heracles y acabó su vida vergonzosamente.

[61] πολλῶν δ᾽ ὑπαρχουσῶν ἡμῖν εὐεργεσιῶν εἰς τὴν πόλιν τὴν Λακεδαιμονίων, περὶ ταύτης μόνης μοι συμβέβηκεν εἰπεῖν· ἀφορμὴν γὰρ

61 *A*unque hemos hecho muchos favores a la ciudad de los lacedemonios, me ha convenido hablar sólo de éste; pues a partir de la salvación

[38] EURÍPIDES en *Heraclidas* 983 ss., dice que Euristeo no suplicó. Isócrates hace ver así el contraste entre los hijos de Heracles y su enemigo.

λαβόντες τὴν δι᾽ ἡμῶν αὐτοῖς γενομένην σωτηρίαν οἱ πρόγονοι μὲν τῶν νῦν ἐν Λακεδαίμονι βασιλευόντων, ἔκγονοι δ᾽ Ἡρακλέους, κατῆλθον μὲν εἰς Πελοπόννησον, κατέσχον δ᾽ Ἄργος καὶ Λακεδαίμονα καὶ Μεσσήνην, οἰκισταὶ δὲ Σπάρτης ἐγένοντο, καὶ τῶν παρόντων ἀγαθῶν αὐτοῖς ἁπάντων ἀρχηγοὶ κατέστησαν.

que les procuramos, los antepasados de los que ahora son los reyes en Lacedemonia, descendientes de Heracles, pasaron al Peloponeso, ocuparon Argos, Lacedemonia y Mesenia, poblaron Esparta y fueron los autores de todos sus bienes actuales.

[62] ὧν ἐχρῆν ἐκείνους μεμνημένους μηδέποτ᾽ εἰς τὴν χώραν ταύτην εἰσβαλεῖν, ἐξ ἧς ὁρμηθέντες τοσαύτην εὐδαιμονίαν κατεκτήσαντο, μηδ᾽ εἰς κινδύνους καθιστάναι τὴν πόλιν τὴν ὑπὲρ τῶν παίδων τῶν Ἡρακλέους προκινδυνεύσασαν, μηδὲ τοῖς μὲν ἀπ᾽ ἐκείνου γεγονόσι διδόναι τὴν βασιλείαν, τὴν δὲ τῷ γένει τῆς σωτηρίας αἰτίαν οὖσαν δουλεύειν αὑτοῖς ἀξιοῦν.

62 Si se hubieran acordado de este hecho nunca debieran haber atacado la tierra de la que partieron para adquirir tan buena situación, ni poner en peligro a la ciudad que se arriesgó en la defensa de los hijos de Heracles, ni dar la realeza a los descendientes de aquél, si es que pensaban esclavizar a la ciudad que es causa de la salvación de su linaje[39].

[63] εἰ δὲ δεῖ τὰς χάριτας καὶ τὰς ἐπιεικείας ἀνελόντας ἐπὶ τὴν ὑπόθεσιν πάλιν ἐπανελθεῖν καὶ τὸν ἀκριβέστατον τῶν λόγων εἰπεῖν, οὐ δή που πάτριόν ἐστιν ἡγεῖσθαι τοὺς ἐπήλυδας τῶν αὐτοχθόνων, οὐδὲ τοὺς εὖ παθόντας τῶν εὖ ποιησάντων, οὐδὲ τοὺς ἱκέτας γενομένους τῶν ὑποδεξαμένων.

63 Pero si hay que dejar las consideraciones de gratitud y equidad para volver de, nuevo al argumento y expresarlo con el término más exacto, ninguna tradición existe de que los foráneos dominen a los autóctonos, ni los beneficiados a sus bienhechores, ni los suplicantes a quienes les acogieron.

[64] ἔτι δὲ συντομώτερον ἔχω δηλῶσαι περὶ αὐτῶν. τῶν μὲν γὰρ Ἑλληνίδων πόλεων, χωρὶς τῆς ἡμετέρας, Ἄργος καὶ Θῆβαι καὶ Λακεδαίμων καὶ τότ᾽ ἦσαν μέγισται καὶ νῦν ἔτι διατελοῦσι. φαίνονται δ᾽ ἡμῶν οἱ πρόγονοι τοσοῦτον ἁπάντων διενεγκόντες, ὥσθ᾽ ὑπὲρ μὲν Ἀργείων δυστυχησάντων Θηβαίοις, ὅτε μέγιστον ἐφρόνησαν, ἐπιτάττοντες,

64 Y puedo explicar esto de forma más concisa aún. Las ciudades griegas, entonces más grandes, exceptuada la nuestra, eran Argos, Tebas y Lacedemonia, y aún ahora lo siguen siendo[40]. Pero nuestros antepasados se mostraron tan superiores, que para defender a los argivos vencidos dictaron órdenes a los tebanos, cuando estaban más engreídos;

[65] ὑπὲρ δὲ τῶν παίδων τῶν Ἡρακλέους Ἀργείους καὶ τοὺς ἄλλους Πελοποννησίους μάχῃ κρατήσαντες, ἐκ δὲ τῶν πρὸς Εὐρυσθέα κινδύνων τοὺς οἰκιστὰς καὶ τοὺς ἡγεμόνας

65 para defender a los hijos de Heracles, vencieron en combate a los argivos y demás peloponesios, y salvaron de los peligros de Euristeo a los fundadores y jefes de los

---

[39] Aristodemo, descendiente de Heracles, tuvo dos hijos, Euristenes y Procles, de cuyas familias descienden los dos reyes de Esparta.

[40] Isócrates aconseja al rey macedonio en *Filipo* 30-34 que reconcilie a estas tres ciudades junto con Atenas, por ser las cuatro las más importantes de toda Grecia.

τοὺς Λακεδαιμονίων διασώσαντες. ὥστε περὶ μὲν τῆς ἐν τοῖς Ἕλλησι δυναστείας οὐκ οἶδ᾽ ὅπως ἄν τις σαφέστερον ἐπιδεῖξαι δυνηθείη.

lacedemonios. Así, en lo que atañe al dominio sobre los griegos, no sé cómo se podría hacer una demostración más suficiente.

[66] δοκεῖ δέ μοι καὶ περὶ τῶν πρὸς τοὺς βαρβάρους τῇ πόλει πεπραγμένων προσήκειν εἰπεῖν, ἄλλως τ᾽ ἐπειδὴ καὶ τὸν λόγον κατεστησάμην περὶ τῆς ἡγεμονίας τῆς ἐπ᾽ ἐκείνους. ἅπαντας μὲν οὖν ἐξαριθμῶν τοὺς κινδύνους λίαν ἂν μακρολογοίην: ἐπὶ δὲ τῶν μεγίστων τὸν αὐτὸν τρόπον ὅν περ ὀλίγῳ πρότερον πειράσομαι καὶ περὶ τούτων διελθεῖν.

66 Me parece que conviene hablar también de lo realizado por la ciudad contra los bárbaros, especialmente después que hice que mi discurso versara sobre la hegemonía contra aquéllos. Si contara todas las situaciones de peligro, me alargaría demasiado; intentaré hablar de las mayores, siguiendo el mismo procedimiento de hace un momento.

[67] ἔστι γὰρ ἀρχικώτατα μὲν τῶν γενῶν καὶ μεγίστας δυναστείας ἔχοντα Σκύθαι καὶ Θρᾷκες καὶ Πέρσαι, τυγχάνουσι δ᾽ οὗτοι μὲν ἅπαντες ἡμῖν ἐπιβουλεύσαντες, ἡ δὲ πόλις πρὸς ἅπαντας τούτους διακινδυνεύσασα. καίτοι τί λοιπὸν ἔσται τοῖς ἀντιλέγουσιν, ἢν ἐπιδειχθῶσι τῶν μὲν Ἑλλήνων οἱ μὴ δυνάμενοι τυγχάνειν τῶν δικαίων ἡμᾶς ἱκετεύειν ἀξιοῦντες, τῶν δὲ βαρβάρων οἱ βουλόμενοι καταδουλώσασθαι τοὺς Ἕλληνας ἐφ᾽ ἡμᾶς πρώτους ἰόντες;

67 Los pueblos más aptos para mandar y de mayor poder son los escitas, tracios y persas, precisamente todos los que conspiraron contra nosotros; y la ciudad pasó apuros contra todos ellos. Por cierto ¿qué quedará a los que nos contradicen, si queda demostrado que los griegos, cuando no pudieron obtener justicia, decidieron suplicarnos y los bárbaros, en cambio, que querían esclavizar a los griegos, vinieron primero contra nosotros?

[68] ἐπιφανέστατος μὲν οὖν τῶν πολέμων ὁ Περσικὸς γέγονεν, οὐ μὴν ἐλάττω τεκμήρια τὰ παλαιὰ τῶν ἔργων ἐστὶ τοῖς περὶ τῶν πατρίων ἀμφισβητοῦσιν. ἔτι γὰρ ταπεινῆς οὔσης τῆς Ἑλλάδος ἦλθον εἰς τὴν χώραν ἡμῶν Θρᾷκες μὲν μετ᾽ Εὐμόλπου τοῦ Ποσειδῶνος, Σκύθαι δὲ μετ᾽ Ἀμαζόνων τῶν Ἄρεως θυγατέρων, οὐ κατὰ τὸν αὐτὸν χρόνον, ἀλλὰ καθ᾽ ὃν ἑκάτεροι τῆς Εὐρώπης ἐπῆρχον, μισοῦντες μὲν ἅπαν τὸ τῶν Ἑλλήνων γένος, ἰδίᾳ δὲ πρὸς ἡμᾶς ἐγκλήματα ποιησάμενοι, νομίζοντες ἐκ

68 La guerra más famosa fue, en efecto, la guerra contra Persia; pero las hazañas antiguas no son una prueba inferior para los que discuten sobre tradiciones. Cuando Grecia aún era débil, vinieron a nuestra tierra los tracios con Eumolpo[41], hijo de Poseidón, y los escitas con las Amazonas[42] hijas de Ares; no vinieron simultáneamente, sino en el momento en que cada uno de ellos extendía su poder sobre Europa; odiaban a todo el pueblo griego, pero en particular nos hacían reproches a nosotros, porque creían que al obrar así lucharían contra

[41] Eumolpo, hijo de Poseidón, habría querido conquistar Atenas; esta versión que nos da Isócrates estaría basada en la leyenda de la rivalidad entre Atenea y Poseidón para dominar el Ática; lo mismo EURÍPIDES en su *Erecteo* (cf. PAUSANIAS, I 27, 4). Pero en el siglo *V* a. C. Eumolpo aparece representado como tracio, cercano al mito y religión de Orfeo; según esta segunda versión, sus descendientes, los Eumólpidas, aparecen ligados a los cultos de Eleusis.

[42] Hijas de Ares y de la náyade Harmonía. DIODORO (III 53 ss.) sitúa en Libia su reino; HERÓDOTO (IV 110-117) las relaciona con los escitas y sármatas. Los nombres de Pentesilea, Hipólita y Antíope aparecen en numerosas sagas; posiblemente su leyenda se apoye en sociedades matriarcales asiáticas.

τούτου τοῦ τρόπου πρὸς μίαν μὲν πόλιν κινδυνεύσειν, ἁπασῶν δ᾽ ἅμα κρατήσειν.

una sola ciudad, pero dominarían a todos a la vez.

[69] οὐ μὴν κατώρθωσαν, ἀλλὰ πρὸς μόνους τοὺς προγόνους τοὺς ἡμετέρους συμβαλόντες ὁμοίως διεφθάρησαν ὥσπερ ἂν εἰ πρὸς ἅπαντας ἀνθρώπους ἐπολέμησαν. δῆλον δὲ τὸ μέγεθος τῶν κακῶν τῶν γενομένων ἐκείνοις: οὐ γὰρ ἄαν ποθ᾽ οἱ λόγοι περὶ αὐτῶν τοσοῦτον χρόνον διέμειναν, εἰ μὴ καὶ τὰ πραχθέντα πολὺ τῶν ἄλλων διήνεγκεν.

69 Sin embargo, no tuvieron éxito; por el contrario, aunque se lanzaron contra nuestros antepasados que estaban solos, perecieron igual que si hubieran hecho la guerra a todos los hombres. Y la magnitud de los desastres que les ocurrieron está demostrada; pues no habrían durado tanto tiempo los relatos sobre aquellos hechos, si lo ocurrido no aventajara con mucho a otros sucesos.

[70] λέγεται δ᾽ οὖν περὶ μὲν Ἀμαζόνων ὡς τῶν μὲν ἐλθουσῶν οὐδεμία πάλιν ἀπῆλθεν, αἱ δ᾽ ὑπολειφθεῖσαι διὰ τὴν ἐνθάδε συμφορὰν ἐκ τῆς ἀρχῆς ἐξεβλήθησαν, περὶ δὲ Θρᾳκῶν ὅτι τὸν ἄλλον χρόνον ὅμοροι προσοικοῦντες ἡμῖν διὰ τὴν τότε γενομένην στρατείαν τοσοῦτον διέλιπον, ὥστ᾽ ἐν τῷ μεταξὺ τῆς χώρας ἔθνη πολλὰ καὶ γένη παντοδαπὰ καὶ πόλεις μεγάλας κατοικισθῆναι.

70 Se cuenta que ninguna de las Amazonas que vinieron regresó, y que las que se quedaron en su país fueron arrojadas del poder como consecuencia de la derrota sufrida aquí; en cuanto a los tracios, antes vecinos nuestros, abandonaron tanto territorio a causa de esta expedición que en ese espacio intermedio se establecieron muchos pueblos, razas de toda clase y ciudades populosas.

[71] καλὰ μὲν οὖν καὶ ταῦτα, καὶ πρέποντα τοῖς περὶ τῆς ἡγεμονίας ἀμφισβητοῦσιν: ἀδελφὰ δὲ τῶν εἰρημένων, καὶ τοιαῦθ᾽ οἷά περ εἰκὸς τοὺς ἐκ τοιούτων γεγονότας, οἱ πρὸς Δαρεῖον καὶ Ξέρξην πολεμήσαντες ἔπραξαν. μεγίστου γὰρ πολέμου συστάντος ἐκείνου, καὶ πλείστων κινδύνων εἰς τὸν αὐτὸν χρόνον συμπεσόντων, καὶ τῶν μὲν πολεμίων ἀνυποστάτων οἰομένων εἶναι διὰ τὸ πλῆθος, τῶν δὲ συμμάχων ἀνυπέρβλητον ἡγουμένων ἔχειν τὴν ἀρετήν,

71 Estas cosas son hermosas y convenientes para quienes pretenden la hegemonía, y de las referidas, son hermanas también las que, como corresponde a descendientes de hombres así, llevaron a cabo los que lucharon contra Darío y Jerjes[43]. Después de estallar aquella enorme guerra y sobrevenir al mismo tiempo los mayores peligros, cuando los enemigos se creían irresistibles por su número y los aliados[44] pensaban que su valor era insuperable,

[72] ἀμφοτέρων κρατήσαντες ὡς ἑκατέρων προσῆκεν, καὶ πρὸς ἅπαντας τοὺς κινδύνους διενεγκόντες, εὐθὺς μὲν τῶν ἀριστείων ἠξιώθησαν, οὐ πολλῷ δ᾽ ὕστερον τὴν ἀρχὴν τῆς θαλάττης ἔλαβον, δόντων μὲν τῶν ἄλλων

72 los atenienses vencieron a ambos según convino en cada caso, superaron todos los peligros y fueron inmediatamente considerados los más valerosos; no mucho más tarde consiguieron la hegemonía marítima[45], que les

[43] En las batallas de Maratón (490 a. C.) y Salamina (480 a. C.).
[44] Según HERÓD. (VIII 97; IX 71), sólo Egina ayudó a Atenas en Salamina y Esparta en Platea.
[45] Esta hegemonía fue obtenida el año 477 a. C. al formarse la liga de Delos.

Ἑλλήνων, οὐκ ἀμφισβητούντων δὲ τῶν νῦν ἡμᾶς ἀφαιρεῖσθαι ζητούντων.

confiaron los demás griegos, sin que lo discutieran quienes ahora intentan quitárnoslo.

[73] καὶ μηδεὶς οἰέσθω μ᾽ ἀγνοεῖν ὅτι καὶ Λακεδαιμόνιοι περὶ τοὺς καιροὺς τούτους πολλῶν ἀγαθῶν αἴτιοι τοῖς Ἕλλησι κατέστησαν: ἀλλὰ διὰ τοῦτο καὶ μᾶλλον ἐπαινεῖν ἔχω τὴν πόλιν, ὅτι τοιούτων ἀνταγωνιστῶν τυχοῦσα τοσοῦτον αὐτῶν διήνεγκεν. βούλομαι δ᾽ ὀλίγῳ μακρότερα περὶ τοῖν πολέοιν εἰπεῖν καὶ μὴ ταχὺ λίαν παραδραμεῖν, ἵν᾽ ἀμφοτέρων ἡμῖν ὑπομνήματα γένηται, τῆς τε τῶν προγόνων ἀρετῆς καὶ τῆς πρὸς τοὺς βαρβάρους ἔχθρας.

73 Nadie crea que desconozco que en aquella ocasión los lacedemonios favorecieron mucho a los griegos; sin embargo, esto es también un motivo para que alabe a la ciudad, que tanto aventajó a tales antagonistas. Quiero hablar un poco más sobre las dos ciudades sin pasar demasiado a la ligera, para que nos acordemos de dos cosas: del valor de nuestros antepasados y de su odio hacia los bárbaros.

[74] καίτοι μ᾽ οὐ λέληθεν ὅτι χαλεπόν ἐστιν ὕστατον ἐπελθόντα λέγειν περὶ πραγμάτων πάλαι προκατειλημμένων, καὶ περὶ ὧν οἱ μάλιστα δυνηθέντες τῶν πολιτῶν εἰπεῖν ἐπὶ τοῖς δημοσίᾳ θαπτομένοις πολλάκις εἰρήκασιν: ἀνάγκη γὰρ τὰ μὲν μέγιστ᾽ αὐτῶν ἤδη κατακεχρῆσθαι, μικρὰ δ᾽ ἔτι παραλελεῖφθαι. ὅμως δ᾽ ἐκ τῶν ὑπολοίπων, ἐπειδὴ συμφέρει τοῖς πράγμασιν, οὐκ ὀκνητέον μνησθῆναι περὶ αὐτῶν.

74 No se me pasa por alto la dificultad de hablar en último lugar de asuntos ya tratados desde antiguo, y sobre los que han hablado con frecuencia en los funerales públicos[46] los ciudadanos de mayor fuerza oratoria; necesariamente han utilizado ya lo más importante de estos sucesos, y han dejado sin tratar lo más secundario. A pesar de ello, no debo vacilar en recordar lo que queda, pues interesa a mi trabajo.

[75] πλείστων μὲν οὖν ἀγαθῶν αἰτίους καὶ μεγίστων ἐπαίνων ἀξίους ἡγοῦμαι γεγενῆσθαι τοὺς τοῖς σώμασιν ὑπὲρ τῆς Ἑλλάδος προκινδυνεύσαντας: οὐ μὴν οὐδὲ τῶν πρὸ τοῦ πολέμου τούτου γενομένων καὶ δυναστευσάντων ἐν ἑκατέρᾳ τοῖν πολέοιν δίκαιον ἀμνημονεῖν: ἐκεῖνοι γὰρ ἦσαν οἱ προασκήσαντες τοὺς ἐπιγιγνομένους καὶ τὰ πλήθη προτρέψαντες ἐπ᾽ ἀρετὴν καὶ χαλεποὺς ἀνταγωνιστὰς τοῖς βαρβάροις ποιήσαντες.

75 Creo que los causantes de los mayores bienes y dignos de los mayores aplausos son los que arriesgaron su vida por Grecia; pero no es justo echar en olvido a los que vivieron antes de esta guerra y gobernaron en cada una de las dos ciudades; pues aquéllos fueron los que ejercitaron a sus descendientes, empujaron al pueblo al valor y prepararon unos formidables rivales a los bárbaros.

[76] οὐ γὰρ ὠλιγώρουν τῶν κοινῶν, οὐδ᾽ ἀπέλαυον μὲν ὡς ἰδίων, ἠμέλουν δ᾽ ὡς ἀλλοτρίων, ἀλλ᾽ ἐκήδοντο μὲν ὡς οἰκείων,

76 No desdeñaban los asuntos públicos, ni se aprovechaban de ellos como de algo privado, ni

[46] Es interesante esta referencia de Isócrates a los discursos políticos que se pronuncian en los funerales públicos; recuérdese el famoso discurso fúnebre que pone TUCÍDIDES en boca de Pericles, así como el discurso fúnebre pronunciado por Gorgias también con finalidad panhelénica.

ἀπείχοντο δ᾽ ὥσπερ χρὴ τῶν μηδὲν προσηκόντων: οὐδὲ πρὸς ἀργύριον τὴν εὐδαιμονίαν ἔκρινον, ἀλλ᾽ οὗτος ἐδόκει πλοῦτον ἀσφαλέστατον κεκτῆσθαι καὶ κάλλιστον, ὅστις τοιαῦτα τυγχάνοι πράττων ἐξ ὧν αὐτός τε μέλλοι μάλιστ᾽ εὐδοκιμήσειν καὶ τοῖς παισὶ μεγίστην δόξαν καταλείψειν.

los descuidaban como si fueran cosas ajenas[47]; al contrario, se preocupaban de ellos como de asuntos familiares, y se mantenían apartados de lo que no conviene, tal como se debe hacer; no juzgaban la felicidad por el dinero, sino que consideraban que tenía la riqueza más segura y hermosa quien hiciese cosas de tal categoría que le proporcionaran una fama excelente y transmitiera a sus hijos la gloria más grande.

[77] οὐδὲ τὰς θρασύτητας τὰς ἀλλήλων ἐζήλουν, οὐδὲ τὰς τόλμας τὰς αὑτῶν ἤσκουν, ἀλλὰ δεινότερον μὲν ἐνόμιζον εἶναι κακῶς ὑπὸ τῶν πολιτῶν ἀκούειν ἢ καλῶς ὑπὲρ τῆς πόλεως ἀποθνήσκειν, μᾶλλον δ᾽ ᾐσχύνοντ᾽ ἐπὶ τοῖς κοινοῖς ἁμαρτήμασιν ἢ νῦν ἐπὶ τοῖς ἰδίοις τοῖς σφετέροις αὐτῶν.

77 No envidiaban sus mutuas audacias, ni ejercitaban su temeridad, sino que juzgaban más funesto que sus conciudadanos hablaran mal de ellos, que morir noblemente por la patria, y se avergonzaban más por las faltas en los asuntos públicos que por las que cometen ahora en sus cuestiones particulares.

[78] τούτων δ᾽ ἦν αἴτιον ὅτι τοὺς νόμους ἐσκόπουν ὅπως ἀκριβῶς καὶ καλῶς ἕξουσιν, οὐχ οὕτω τοὺς περὶ τῶν ἰδίων συμβολαίων ὡς τοὺς περὶ τῶν καθ᾽ ἑκάστην τὴν ἡμέραν ἐπιτηδευμάτων: ἠπίσταντο γὰρ ὅτι τοῖς καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων οὐδὲν δεήσει πολλῶν γραμμάτων, ἀλλ᾽ ἀπ᾽ ὀλίγων συνθημάτων ῥᾳδίως καὶ περὶ τῶν ἰδίων καὶ περὶ τῶν κοινῶν ὁμονοήσουσιν.

78 Causa de esto era que examinaban de qué forma las leyes serían más exactas y buenas, no tanto las referidas a negocios privados como las que atañen a las actividades cotidianas; sabían, en efecto, que los hombres nobles y buenos no necesitan de muchos textos legales, sino que con unas pocas indicaciones se ponen fácilmente de acuerdo en los asuntos privados y en los públicos[48].

[79] οὕτω δὲ πολιτικῶς εἶχον, ὥστε καὶ τὰς στάσεις ἐποιοῦντο πρὸς ἀλλήλους οὐχ ὁπότεροι τοὺς ἑτέρους ἀπολέσαντες τῶν λοιπῶν ἄρξουσιν, ἀλλ᾽ ὁπότεροι φθήσονται τὴν πόλιν ἀγαθόν τι ποιήσαντες: καὶ τὰς ἑταιρείας συνῆγον οὐχ ὑπὲρ τῶν συμφερόντων, ἀλλ᾽ ἐπὶ τῇ τοῦ πλήθους ὠφελείᾳ.

79 Tenían tal civismo que competían entre sí, no para que unos, después de eliminar a otros, gobernaran al resto de los ciudadanos, sino para anticiparse en hacer algún bien a la ciudad: y se reunían en sociedades políticas[49] para ayudar al pueblo, no para provechos privados.

---

[47] Lo mismo en *Areopagítico* 24, y *Nicocles* 21.

[48] La posición que Isócrates adopta al describir la antigua democracia es similar a la de PLATÓN, *Gorgias* 515 D. En general lo que Isócrates desea es la vuelta a una democracia más moderada (cf. *Areopagítico* 21 ss.).

[49] Estas sociedades políticas o hetaireíai fueron muy famosas en la democracia ateniense; recuérdese el famoso «círculo» de Pericles. Más tarde se transformaron en centros de conspiraciones de la oligarquía (cf. TUC., VIII 54, y ARISTÓT., *Constitución de Atenas* XXXIV.

[80] τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ τῶν ἄλλων διῴκουν, θεραπεύοντες ἀλλ᾽ οὐχ ὑβρίζοντες τοὺς Ἕλληνας, καὶ στρατηγεῖν οἰόμενοι δεῖν ἀλλὰ μὴ τυραννεῖν αὐτῶν, καὶ μᾶλλον ἐπιθυμοῦντες ἡγεμόνες ἢ δεσπόται προσαγορεύεσθαι καὶ σωτῆρες ἀλλὰ μὴ λυμεῶνες ἀποκαλεῖσθαι, τῷ ποιεῖν εὖ προσαγόμενοι τὰς πόλεις, ἀλλ᾽ οὐ βίᾳ καταστρεφόμενοι,

80 De igual forma administraban lo ajeno: servían a los griegos, pero no los maltrataban, pensando que debían guiarlos, mas no tiranizarlos; preferían ser llamados caudillos que soberanos, y que se les denominase salvadores, y no opresores; atraían a las ciudades por su bien obrar, sin subyugarlas por la fuerza.

[81] πιστοτέροις μὲν τοῖς λόγοις ἢ νῦν τοῖς ὅρκοις χρώμενοι, ταῖς δὲ συνθήκαις ὥσπερ ἀνάγκαις ἐμμένειν ἀξιοῦντες, οὐχ οὕτως ἐπὶ ταῖς δυναστείαις μέγα φρονοῦντες, ὡς ἐπὶ τῷ σωφρόνως ζῆν φιλοτιμούμενοι, τὴν αὐτὴν ἀξιοῦντες γνώμην ἔχειν πρὸς τοὺς ἥττους ἥνπερ τοὺς κρείττους πρὸς σφᾶς αὐτούς, ἴδια μὲν ἄστη τὰς αὑτῶν πόλεις ἡγούμενοι, κοινὴν δὲ πατρίδα τὴν Ἑλλάδα νομίζοντες εἶναι.

81 Las palabras que usaban eran más seguras que los juramentos actuales, pues creían que había que mantenerse fíeles a los pactos como a una necesidad; no se ufanaban tanto de sus poderes como de vivir con prudencia; consideraban que debían tener hacia sus inferiores la misma consideración que ellos tenían a sus superiores; gobernaban sus ciudades según las peculiaridades de cada una, pero consideraban a Grecia la patria común.

[82] τοιαύταις διανοίαις χρώμενοι, καὶ τοὺς νεωτέρους ἐν τοῖς τοιούτοις ἤθεσι παιδεύοντες, οὕτως ἄνδρας ἀγαθοὺς ἀπέδειξαν τοὺς πολεμήσαντας πρὸς τοὺς ἐκ τῆς Ἀσίας, ὥστε μηδένα πώποτε δυνηθῆναι περὶ αὐτῶν αὐτῶν μήτε τῶν ποιητῶν μήτε τῶν σοφιστῶν ἀξίως τῶν ἐκείνοις ἐκείνοις πεπραγμένων εἰπεῖν. καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώμην: ὁμοίως γάρ ἐστι χαλεπὸν ἐπαινεῖν τοὺς ὑπερβεβληκότας τὰς τῶν ἄλλων ἀρετὰς ὥσπερ τοὺς μηδὲν ἀγαθὸν πεποιηκότας: τοῖς μὲν γὰρ οὐχ ὕπεισι πράξεις, πρὸς δὲ τοὺς οὐκ εἰσὶν ἁρμόττοντες λόγοι.

82 Con tales propósitos y educando a los jóvenes en costumbres semejantes, hicieron tan valerosos a los hombres que lucharon contra los asiáticos, que nunca poeta ni sofista alguno pudo hablar de forma apropiada a lo que aquéllos ejecutaron. Y les disculpo mucho; pues tan difícil resulta ensalzar a quienes sobrepasan en valor a los demás como a quienes nada bueno han hecho; estos últimos carecen, en efecto, de hazañas, para aquéllos, empero, no hay palabras convenientes.

[83] πῶς γὰρ ἂν γένοιντο σύμμετροι τοιούτοις ἀνδράσιν, οἳ τοσοῦτον μὲν τῶν ἐπὶ Τροίαν στρατευσαμένων διήνεγκαν, ὅσον οἱ μὲν περὶ μίαν πόλιν ἔτη δέκα διέτριψαν, οἱ δὲ τὴν ἐξ ἁπάσης τῆς Ἀσίας δύναμιν ἐν ὀλίγῳ χρόνῳ κατεπολέμησαν, οὐ μόνον δὲ τὰς αὑτῶν πατρίδας διέσωσαν, ἀλλὰ καὶ τὴν σύμπασαν Ἑλλάδα ἠλευθέρωσαν; ποίων δ᾽ ἂν ἔργων ἢ

83 ¿Cómo resultarían apropiadas para hombres semejantes, que aventajaron a los que marcharon contra Troya tanto, que éstos pasaron diez años alrededor de una sola ciudad, y aquéllos, en cambio, en breve tiempo vencieron la fuerza de toda Asia, y no sólo salvaron sus propias patrias, sino que liberaron a toda Grecia?[50] ¿De qué empresas, penalidades

[50] Comparación muy utilizada, lo mismo en el parágrafo 186 de este discurso.

πόνων ἢ κινδύνων ἀπέστησαν ὥστε ζῶντες εὐδοκιμεῖν, οἵ τινες ὑπὲρ τῆς δόξης ἧς ἔμελλον τελευτήσαντες ἕξειν οὕτως ἑτοίμως ἤθελον ἀποθνήσκειν;

o peligros desertaron para vivir con honor quienes estaban tan dispuestos a morir por la fama que tendrían después de muertos?

[84] οἶμαι δὲ καὶ τὸν πόλεμον θεῶν τινα συναγαγεῖν ἀγασθέντα τὴν ἀρετὴν αὐτῶν, ἵνα μὴ τοιοῦτοι γενόμενοι τὴν φύσιν διαλάθοιεν μηδ᾽ ἀκλεῶς τὸν βίον τελευτήσαιεν, ἀλλὰ τῶν αὐτῶν τοῖς ἐκ τῶν θεῶν γεγονόσι καὶ καλουμένοις ἡμιθέοις ἀξιωθεῖεν: καὶ γὰρ ἐκείνων τὰ μὲν σώματα ταῖς τῆς φύσεως ἀνάγκαις ἀπέδοσαν, τῆς δ᾽ ἀρετῆς ἀθάνατον τὴν μνήμην ἐποίησαν.

84 Creo que alguno de los dioses, admirado por el valor de éstos, suscitó la guerra para que hombres de tal naturaleza no pasaran desapercibidos y acabaran su vida sin gloria, sino que fueran igualados en su reputación a los hijos de los dioses, los llamados semidioses, pues también sus cuerpos se entregaron a las necesidades de la naturaleza, pero dejaron recuerdo eterno de su valor[51].

[85] ἀεὶ μὲν οὖν οἵ θ᾽ ἡμέτεροι πρόγονοι καὶ Λακεδαιμόνιοι φιλοτίμως πρὸς ἀλλήλους εἶχον, οὐ μὴν ἀλλὰ περὶ καλλίστων ἐν ἐκείνοις τοῖς χρόνοις ἐφιλονίκησαν, οὐκ ἐχθροὺς ἀλλ᾽ ἀνταγωνιστὰς σφᾶς αὐτοὺς εἶναι νομίζοντες, οὐδ᾽ ἐπὶ δουλείᾳ τῇ τῶν Ἑλλήνων τὸν βάρβαρον θεραπεύοντες, ἀλλὰ περὶ μὲν τῆς κοινῆς σωτηρίας ὁμονοοῦντες, ὁπότεροι δὲ ταύτης αἴτιοι γενήσονται, περὶ τούτου ποιούμενοι τὴν ἅμιλλαν.
ἐπεδείξαντο δὲ τὰς αὑτῶν ἀρετὰς πρῶτον μὲν ἐν τοῖς ὑπὸ Δαρείου πεμφθεῖσιν.

85 Siempre nuestros antepasados y los lacedemonios estuvieron rivalizando entre sí[52], pero en aquellos tiempos no les agradaba competir sino por las cosas más bellas, en la creencia de que no eran enemigos, sino antagonistas; no servían al bárbaro para esclavizar a Grecia[53], sino que tenían el mismo parecer sobre la salvación común y disputaban cuál de los dos sería su autor.
Mostraron su valor por vez primera ante las tropas enviadas por Darío.

[86] ἀποβάντων γὰρ αὐτῶν εἰς τὴν Ἀττικὴν οἱ μὲν οὐ περιέμειναν τοὺς συμμάχους, ἀλλὰ τὸν κοινὸν πόλεμον ἴδιον ποιησάμενοι πρὸς τοὺς ἁπάσης τῆς Ἑλλάδος καταφρονήσαντας ἀπήντων τὴν οἰκείαν δύναμιν ἔχοντες, ὀλίγοι πρὸς πολλὰς μυριάδας, ὥσπερ ἐν ἀλλοτρίαις ψυχαῖς μέλλοντες κινδυνεύειν, οἱ δ᾽ οὐκ ἔφθησαν πυθόμενοι τὸν περὶ τὴν Ἀττικὴν πόλεμον, καὶ πάντων τῶν ἄλλων ἀμελήσαντες ἧκον ἡμῖν ἀμυνοῦντες, τοσαύτην ποιησάμενοι σπουδὴν ὅσην περ ἂν τῆς αὑτῶν χώρας πορθουμένης.

86 Pues cuando los persas desembarcaron en el Ática, los atenienses no aguardaron a sus aliados, sino que hicieron de la guerra común la suya particular. Salieron al encuentro de los que despreciaban a toda Grecia con sólo el ejército propio, unos pocos contra muchos miles, como si fueran a poner en peligro vidas ajenas. Los lacedemonios, tan pronto supieron que había guerra en el Ática, descuidaron todo lo demás y llegaron en nuestra ayuda con tanta prisa como si fuera su tierra la sitiada.

[51] Con frecuencia habla Isócrates de la inmortalidad como premio para los que mueren con honor; también en *Evágoras* 3, *Arquídamo* 109, y *Sobre la paz* 94.
[52] Los parágrafos 85-87 son paralelos a los que dice LISIAS, *Epitafio* 23-26.
[53] Desde comienzos del siglo IV a. C. las relaciones con el rey persa Artajerjes II fueron constantes por parte de Atenas y Esparta.

[87] σημεῖον δὲ τοῦ τάχους καὶ τῆς ἁμίλλης: τοὺς μὲν γὰρ ἡμετέρους προγόνους φασὶ τῆς αὐτῆς ἡμέρας πυθέσθαι τε τὴν ἀπόβασιν τὴν τῶν βαρβάρων καὶ βοηθήσαντας ἐπὶ τοὺς ὅρους τῆς χώρας μάχῃ νικήσαντας τρόπαιον στῆσαι τῶν πολεμίων, τοὺς δ᾽ ἐν τρισὶν ἡμέραις καὶ τοσαύταις νυξὶ διακόσια καὶ χίλια στάδια διελθεῖν στρατοπέδῳ πορευομένους. οὕτω σφόδρ᾽ ἠπείχθησαν οἱ μὲν μετασχεῖν τῶν κινδύνων, οἱ δὲ φθῆναι συμβαλόντες πρὶν ἐλθεῖν τοὺς βοηθήσοντας.

87 La prueba de su rapidez y rivalidad es la siguiente: cuentan que nuestros antepasados, el mismo día que supieron el desembarco de los bárbaros[54], corrieron en defensa de las fronteras de su tierra, vencieron en la batalla y levantaron un trofeo; los lacedemonios, en tres días con sus noches, recorrieron mil doscientos estadios marchando en columna; tanta fue la prisa que se dieron, éstos en compartir los peligros, aquéllos en combatir antes de que llegaran quienes iban a socorrerlos.

[88] μετὰ δὲ ταῦτα γενομένης τῆς ὕστερον στρατείας, ἣν αὐτὸς Ξέρξης ἤγαγεν, ἐκλιπὼν μὲν τὰ βασίλεια, στρατηγὸς δὲ καταστῆναι τολμήσας, ἅπαντας δὲ τοὺς ἐκ τῆς Ἀσίας συναγείρας: περὶ οὗ τίς οὐχ ὑπερβολὰς προθυμηθεὶς εἰπεῖν ἐλάττω τῶν ὑπαρχόντων εἴρηκεν;

88 Después se produjo la segunda expedición, que condujo Jerjes en persona, quien abandonó su palacio y se atrevió a colocarse como general, tras haber reclutado a todos los del Asia. Sobre este personaje, ¿quién no ha dicho menos de la realidad, aunque se haya esforzado en exagerar?

[89] ὃς εἰς τοσοῦτον ἦλθεν ὑπερηφανίας, ὥστε μικρὸν μὲν ἡγησάμενος ἔργον εἶναι τὴν Ἑλλάδα χειρώσασθαι, βουληθεὶς δὲ τοιοῦτον μνημεῖον καταλιπεῖν ὃ μὴ τῆς ἀνθρωπίνης φύσεώς ἐστιν, οὐ πρότερον ἐπαύσατο πρὶν ἐξεῦρε καὶ συνηνάγκασεν ὃ πάντες θρυλοῦσιν, ὥστε τῷ στρατοπέδῳ πλεῦσαι μὲν διὰ τῆς ἠπείρου, πεζεῦσαι δὲ διὰ τῆς θαλάττης, τὸν μὲν Ἑλλήσποντον ζεύξας, τὸν δ᾽ Ἄθω διορύξας.

89 A tanta soberbia llegó Jerjes que, creyendo tarea pequeña someter Grecia y queriendo dejar tras sí tal monumento que no fuera propio de la naturaleza humana, no descansó hasta inventar y ejecutar lo que todos cuentan: hacer navegar a su ejército a través del continente y hacerlo caminar sobre el mar, después de uncir con un yugo el Helesponto y perforar el monte Atos[55].

[90] πρὸς δὴ τὸν οὕτω μέγα φρονήσαντα καὶ τηλικαῦτα διαπραξάμενον καὶ τοσούτων δεσπότην γενόμενον ἀπήντων διελόμενοι τὸν κίνδυνον, Λακεδαιμόνιοι μὲν εἰς Θερμοπύλας πρὸς τὸ πεζόν, χιλίους αὑτῶν ἐπιλέξαντες καὶ τῶν συμμάχων ὀλίγους παραλαβόντες, ὡς ἐν τοῖς στενοῖς κωλύσοντες αὐτοὺς περαιτέρω

90 Contra un individuo tan orgulloso, autor de tales hazañas y que fue amo de tantos, salieron a enfrentarse, después de repartirse el peligro, los lacedemonios hacia las Termópilas con mil soldados escogidos y unos pocos aliados[56] contra la infantería persa, con la idea de estorbar por los desfiladeros al enemigo en su avance; y

[54] HERÓDOTO, VI 103-120, nos dice que los atenienses tardaron nueve días en marchar contra el enemigo y que los espartanos esperaron hasta la luna nueva.

[55] Cf. ESQUILO, *Los Persas* 745 ss., donde la derrota del ejército persa aparece causada por la desmesura (*hýbris*) de Jerjes, que se atrevió a ir contra lo que los dioses habían dispuesto al alterar la naturaleza.

[56] No eran tan pocos los aliados: 800 espartanos, 700 de Tespis y unos 4.000 peloponesios.

προελθεῖν, οἱ δ᾽ ἡμέτεροι πατέρες ἐπ᾽ Ἀρτεμίσιον, ἑξήκοντα τριήρεις πληρώσαντες πρὸς ἅπαν τὸ τῶν πολεμίων ναυτικόν.

nuestros padres fueron hacia el Artemisio, habiendo equipado sesenta trirremes[57] contra toda la flota enemiga.

[91] ταῦτα δὲ ποιεῖν ἐτόλμων οὐχ οὕτω τῶν πολεμίων καταφρονοῦντες ὡς πρὸς ἀλλήλους ἀγωνιῶντες, Λακεδαιμόνιοι μὲν ζηλοῦντες τὴν πόλιν τῆς Μαραθῶνι μάχης, καὶ ζητοῦντες αὑτοὺς ἐξισῶσαι, καὶ δεδιότες μὴ δὶς ἐφεξῆς ἡ πόλις ἡμῶν αἰτία γένηται τοῖς Ἕλλησι τῆς σωτηρίας, οἱ δ᾽ ἡμέτεροι μάλιστα μὲν βουλόμενοι διαφυλάξαι τὴν παροῦσαν δόξαν, καὶ πᾶσι ποιῆσαι φανερὸν ὅτι καὶ τὸ πρότερον δι᾽ ἀρετὴν ἀρετὴν ἀλλ᾽ οὐ διὰ τύχην ἐνίκησαν, ἔπειτα καὶ προαγαγέσθαι τοὺς Ἕλληνας ἐπὶ τὸ διαναυμαχεῖν, ἐπιδείξαντες αὐτοῖς ὁμοίως ἐν τοῖς ναυτικοῖς κινδύνοις ὥσπερ ἐν τοῖς πεζοῖς τὴν ἀρετὴν τοῦ πλήθους περιγιγνομένην.

91 Y se atrevieron a obrar así, no tanto por despreciar a los enemigos como por competir entre sí; los lacedemonios, ciertamente, envidiaban nuestra ciudad por la batalla de Maratón y buscaban igualarse a nosotros, temiendo que por dos veces seguidas nuestra ciudad fuera causante de la salvación de los griegos; nuestros antepasados, por su parte, ansiaban conservar su fama y demostrar a todos que en la primera ocasión vencieron por valor, no por suerte; y además querían impulsar a los griegos a librar un combate naval, para demostrarles que tanto en los peligros navales como en los terrestres, el valor vence al número[58].

[92] ἴσας δὲ τὰς τόλμας παρασχόντες οὐχ ὁμοίαις ἐχρήσαντο ταῖς τύχαις, ἀλλ᾽ οἱ μὲν διεφθάρησαν καὶ ταῖς ψυχαῖς νικῶντες τοῖς σώμασιν ἀπεῖπον （οὐ γὰρ δὴ τοῦτό γε θέμις εἰπεῖν, ὡς ἡττήθησαν: οὐδεὶς γὰρ αὐτῶν φυγεῖν ἠξίωσεν）, οἱ δ᾽ ἡμέτεροι τὰς μὲν πρόπλους ἐνίκησαν, ἐπειδὴ δ᾽ ἤκουσαν τῆς παρόδου τοὺς πολεμίους κρατοῦντας, οἴκαδε καταπλεύσαντες οὕτως ἐβουλεύσαντο περὶ τῶν λοιπῶν, ὥστε πολλῶν καὶ καλῶν αὐτοῖς προειργασμένων ἐν τοῖς τελευταίοις τῶν κινδύνων ἔτι πλέον διήνεγκαν.

92 Aunque su audacia era igual, no tuvieron idénticas suertes, sino que los lacedemonios perecieron, y venciendo en su espíritu, sus cuerpos cedieron, ya que no se puede decir que fueron vencidos; pues ninguno de ellos consideró honroso huir; en cambio, los nuestros vencieron a la escuadra de primera línea, y cuando se enteraron de que los enemigos se habían apoderado del desfiladero, desembarcaron en la patria [y tras disponer las cosas de la ciudad][59] resolvieron tan bien lo que quedaba, que, habiendo realizado ya antes muchas y bellas cosas, aún destacaron más en los últimos peligros.

[93] ἀθύμως γὰρ ἁπάντων τῶν συμμάχων διακειμένων, καὶ Πελοποννησίων μὲν διατειχιζόντων τὸν Ἰσθμὸν καὶ ζητούντων ἰδίαν αὑτοῖς σωτηρίαν, τῶν δ᾽ ἄλλων πόλεων ὑπὸ τοῖς βαρβάροις γεγενημένων καὶ

93 Pues cuando todos los aliados estaban abatidos y los peloponesios ponían una muralla al istmo y buscaban su salvación individual, cuando estaban sometidas a los bárbaros otras ciudades y luchaban a su lado, salvo alguna que

[57] Segun HEROD. (VIII 2) eran en total 281 naves, de ellas 127 atenienses.

[58] Cf. PLAT., *Menéxeno* 240 D; LISIAS, *Epitafio* 23; LICURGO, *Contra Leócrates* 108.

[59] Las palabras entre corchetes sólo aparecen en la cita que de este pasaje se hace en *Sobre el cambio de fortunas*; MATHIEU, *Isocrate*… II, pág. 37, nota 4, piensa que quizá Isócrates las añadió el año 353 al componer el discurso mencionado.

συστρατευομένων ἐκείνοις, πλὴν εἴ τις διὰ μικρότητα παρημελήθη, προσπλεουσῶν δὲ τριήρων διακοσίων καὶ χιλίων καὶ πεζῆς στρατιᾶς ἀναριθμήτου μελλούσης εἰς τὴν Ἀττικὴν εἰσβάλλειν, οὐδεμιᾶς σωτηρίας αὐτοῖς ὑποφαινομένης, ἀλλ᾽ ἔρημοι συμμάχων γεγενημένοι καὶ τῶν ἐλπίδων ἁπασῶν διημαρτηκότες,

fue olvidada por su insignificancia[60], cuando los bárbaros navegaban con 1.200 trirremes e incontable infantería[61] tenía la intención de lanzarse sobre el Ática, y los nuestros estaban sin ninguna salvación, privados de aliados y frustrados en todas las esperanzas,

[94] ἐξὸν αὐτοῖς μὴ μόνον τοὺς παρόντας κινδύνους διαφυγεῖν ἀλλὰ καὶ τιμὰς ἐξαιρέτους λαβεῖν, ἃς αὐτοῖς ἐδίδου βασιλεὺς ἡγούμενος, εἰ τὸ τῆς πόλεως προσλάβοι ναυτικόν, παραχρῆμα καὶ Πελοποννήσου κρατήσειν, οὐχ ὑπέμειναν τὰς παρ᾽ ἐκείνου δωρεάς, οὐδ᾽ ὀργισθέντες τοῖς Ἕλλησιν ὅτι προὐδόθησαν ἀσμένως ἐπὶ τὰς διαλλαγὰς τὰς πρὸς τοὺς βαρβάρους ὥρμησαν,

94 aunque podían no ya escapar a los peligros presentes, sino conseguir honores extraordinarios que les ofrecía el gran rey, quien pensaba que si se atraía a la escuadra de la ciudad, dominaría al instante también el Peloponeso, los nuestros no aceptaron los regalos de aquél ni se irritaron con los griegos que habían desertado, pensando con agrado en reconciliarse con los bárbaros,

[95] ἀλλ᾽ αὐτοὶ μὲν ὑπὲρ τῆς ἐλευθερίας πολεμεῖν παρεσκευάζοντο, τοῖς δ᾽ ἄλλοις τὴν δουλείαν αἱρουμένοις συγγνώμην εἶχον. ἡγοῦντο γὰρ ταῖς μὲν ταπειναῖς τῶν πόλεων προσήκειν ἐκ παντὸς τρόπου ζητεῖν τὴν σωτηρίαν, ταῖς δὲ προεστάναι τῆς Ἑλλάδος ἀξιούσαις οὐχ οἷόν τ᾽ εἶναι διαφεύγειν τοὺς κινδύνους, ἀλλ᾽ ὥσπερ τῶν ἀνδρῶν τοῖς καλοῖς κἀγαθοῖς αἱρετώτερόν ἐστι καλῶς ἀποθανεῖν ἢ ζῆν αἰσχρῶς, οὕτω καὶ τῶν πόλεων ταῖς ὑπερεχούσαις λυσιτελεῖν ἐξ ἀνθρώπων ἀφανισθῆναι μᾶλλον ἢ δούλαις ὀφθῆναι γενομέναις.

95 sino que se preparaban a luchar por la libertad y disculparon a otros que escogieron la esclavitud. Pues consideraban que las ciudades modestas deben buscar la salvación de cualquier manera, pero las que pretenden estar al frente de Grecia no pueden rehuir los peligros; así como los mejores hombres prefieren morir honrosamente que vivir con deshonra, también es preferible para las ciudades importantes desaparecer de entre los hombres antes que verse en esclavitud.

[96] δῆλον δ᾽ ὅτι ταῦτα διενοήθησαν: ἐπειδὴ γὰρ οὐχ οἷοί τ᾽ ἦσαν πρὸς ἀμφοτέρας ἅμα παρατάξασθαι τὰς δυνάμεις, παραλαβόντες ἅπαντα τὸν ὄχλον τὸν ἐκ τῆς πόλεως εἰς τὴν ἐχομένην νῆσον ἐξέπλευσαν, ἵν᾽ ἐν μέρει πρὸς ἑκατέραν κινδυνεύσωσιν.

96 Y está claro que éste era su pensamiento: puesto que no podían enfrentarse a la vez con ambas fuerzas, después de recoger a toda la gente de la ciudad, navegaron a la isla vecina[62], para combatir por separado con cada una de las dos tropas[63].¿Cómo podría señalarse hombres mejores o más amigos de los griegos que

[60] Según HERÓD., VIII 66, Platea, Tespis y algunas islas.
[61] HERÓD., VII 185, habla de 2.640.000 hombres.
[62] Salamina.
[63] Cf. LIS., *Epitafio* 33 ss.

καίτοι πῶς ἂν ἐκείνων ἄνδρες ἀμείνους ἢ μᾶλλον φιλέλληνες ὄντες ἐπιδειχθεῖεν, οἵτινες ἔτλησαν ἐπιδεῖν, ὥστε μὴ τοῖς λοιποῖς αἴτιοι γενέσθαι τῆς δουλείας, ἐρήμην μὲν τὴν πόλιν γενομένην, τὴν δὲ χώραν πορθουμένην, ἱερὰ δὲ συλώμενα καὶ νεὼς ἐμπιπραμένους, ἅπαντα δὲ τὸν πόλεμον περὶ τὴν πατρίδα τὴν αὑτῶν γιγνόμενον;

quienes, para no ser culpables de la esclavitud de otros, soportaron ver su ciudad desierta, devastada su tierra, saqueados sus santuarios, quemados sus templos y todos los rigores de la guerra en su propia patria?

[97] καὶ οὐδὲ ταῦτ᾽ ἀπέχρησεν αὐτοῖς, ἀλλὰ πρὸς χιλίας καὶ διακοσίας τριήρεις μόνοι διαναυμαχεῖν ἐμέλλησαν. οὐ μὴν εἰάθησαν: καταισχυνθέντες γὰρ Πελοποννήσιοι τὴν ἀρετὴν αὐτῶν, καὶ νομίσαντες προδιαφθαρέντων μὲν τῶν ἡμετέρων οὐδ᾽ αὐτοὶ σωθήσεσθαι, κατορθωσάντων δ᾽ εἰς ἀτιμίαν τὰς αὑτῶν πόλεις καταστήσειν, ἠναγκάσθησαν μετασχεῖν τῶν κινδύνων. καὶ τοὺς μὲν θορύβους τοὺς ἐν τῷ πράγματι γενομένους καὶ τὰς κραυγὰς καὶ τὰς παρακελεύσεις, ἃ κοινὰ πάντων ἐστὶ τῶν ναυμαχούντων, οὐκ οἶδ᾽ ὅ τι δεῖ λέγοντα διατρίβειν:

97 Y ni esto les bastó sino que se dispusieron a trabar combate ellos solos contra 1.200 trirremes. Pero no lo consintieron los peloponesios; pues avergonzados ante su valor, y por pensar que, si los nuestros caían antes, ni ellos se salvarían, y si resultaban vencedores, sus ciudades caerían en la deshonra, se vieron obligados a tomar parte en los peligros. Y no creo que haya que referir[64] la confusión, gritos y recomendaciones producidos en la acción, cosas comunes en todos los combates navales.

[98] ἃ δ᾽ ἐστὶν ἴδια καὶ τῆς ἡγεμονίας ἄξια καὶ τοῖς προειρημένοις ὁμολογούμενα, ταῦτα δ᾽ ἐμὸν ἔργον ἐστὶν εἰπεῖν. τοσοῦτον γὰρ ἡ πόλις ἡμῶν διέφερεν, ὅτ᾽ ἦν ἀκέραιος, ὥστ᾽ ἀνάστατος γενομένη πλείους μὲν συνεβάλετο τριήρεις εἰς τὸν κίνδυνον τὸν ὑπὲρ τῆς Ἑλλάδος ἢ σύμπαντες οἱ ναυμαχήσαντες, οὐδεὶς δὲ πρὸς ἡμᾶς οὕτως ἔχει δυσμενῶς, ὅς τις οὐκ ἂν ὁμολογήσειε διὰ μὲν τὴν ναυμαχίαν ἡμᾶς τῷ πολέμῳ κρατῆσαι, ταύτης δὲ τὴν πόλιν αἰτίαν γενέσθαι.

98 En cambio, es tarea mía contar los detalles particulares, dignos de la hegemonía y reconocidos unánimemente por cuantos ya han hablado antes. Tanto, en efecto, se destacó nuestra ciudad cuando estaba intacta, que incluso después de quedar destruida reunió más trirremes ante el peligro que venía sobre Grecia que todos los demás combatientes navales[65], y nadie nos odia tanto como para no reconocer que ganamos la guerra gracias al combate naval, y que de él fue artífice nuestra ciudad.

[99] καίτοι μελλούσης στρατείας ἐπὶ τοὺς βαρβάρους ἔσεσθαι τίνας χρὴ τὴν ἡγεμονίαν ἔχειν; οὐ τοὺς ἐν τῷ προτέρῳ πολέμῳ μάλιστ᾽ εὐδοκιμήσαντας, καὶ πολλάκις μὲν ἰδίᾳ προκινδυνεύσαντας, ἐν δὲ τοῖς κοινοῖς τῶν ἀγώνων ἀριστείων ἀξιωθέντας, οὐ τοὺς τὴν

99 Y si está a punto de producirse una expedición militar contra los bárbaros, ¿quiénes deben tener el mando? ¿Acaso no los que alcanzaron mayor fama en la guerra anterior, corrieron peligros muchas veces solos y fueron considerados los mejores en los combates

[64] Lo mismo en *Evágoras* 31, donde Isócrates precisa su interés por lo general, no por el detalle.
[65] Isócrates vuelve a exagerar; según HERÓD. (VIII 44, 48), 180 naves eran atenienses y 198 de sus aliados.

αὑτῶν ἐκλιπόντας ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας, καὶ τό τε παλαιὸν οἰκιστὰς τῶν πλείστων πόλεων γενομένους, καὶ πάλιν αὐτὰς ἐκ τῶν μεγίστων συμφορῶν διασώσαντας; πῶς δ᾽ οὐκ ἂν δεινὰ πάθοιμεν, εἰ τῶν κακῶν πλεῖστον μέρος μετασχόντες ἐν ταῖς τιμαῖς ἔλαττον ἔχειν ἀξιωθεῖμεν, καὶ τότε προταχθέντες ὑπὲρ ἁπάντων νῦν ἑτέροις ἀκολουθεῖν ἀναγκασθεῖμεν;

comunes? ¿No quienes abandonaron su propia ciudad por la salvación de los demás, fueron desde antiguo los fundadores de la mayoría de las ciudades y sus salvadores de nuevo en los más grandes peligros? ¿Cómo no íbamos a resultar agraviados si después de participar en la mayoría de los males, fuéramos considerados merecedores de los menores honores, y si, tras estar en primera fila para defender a todos, ahora fuéramos obligados a marchar detrás de los otros?

Justificación del imperio ateniense (100-110)

[100] μέχρι μὲν οὖν τούτων οἶδ᾽ ὅτι πάντες ἂν ὁμολογήσειαν πλείστων ἀγαθῶν τὴν πόλιν τὴν ἡμετέραν αἰτίαν γεγενῆσθαι, καὶ δικαίως ἂν αὐτῆς τὴν ἡγεμονίαν εἶναι: μετὰ δὲ ταῦτ᾽ ἤδη τινὲς ἡμῶν κατηγοροῦσιν, ὡς ἐπειδὴ τὴν ἀρχὴν τῆς θαλάττης παρελάβομεν, πολλῶν κακῶν αἴτιοι τοῖς Ἕλλησι κατέστημεν, καὶ τόν τε Μηλίων ἀνδραποδισμὸν καὶ τὸν Σκιωναίων ὄλεθρον ἐν τούτοις τοῖς λόγοις ἡμῖν προφέρουσιν.

100 Sé que hasta aquí todos estarían de acuerdo en que nuestra ciudad ha resultado autora de los mayores bienes y en que su hegemonía era justa; pero, con posterioridad a estos sucesos, algunos nos acusan de que, tras alcanzar el dominio del mar, nos hicimos responsables de muchos males para los griegos, y en esos discursos nos reprochan la esclavitud de los melios[66] y la matanza de los escionios[67].

[101] ἐγὼ δ᾽ ἡγοῦμαι πρῶτον μὲν οὐδὲν εἶναι τοῦτο σημεῖον ὡς κακῶς ἤρχομεν, εἴ τινες τῶν πολεμησάντων ἡμῖν σφόδρα φαίνονται κολασθέντες, ἀλλὰ πολὺ τόδε μεῖζον τεκμήριον ὡς καλῶς διῳκοῦμεν τὰ τῶν συμμάχων, ὅτι τῶν πόλεων τῶν ὑφ᾽ ἡμῖν οὐσῶν οὐδεμία ταύταις ταῖς συμφοραῖς περιέπεσεν.

101 Yo creo, primeramente, que no prueba en absoluto que gobernáramos mal el que algunos de los que nos hicieron la guerra aparezcan castigados con dureza; por el contrario, el que ninguna de las ciudades que estuvieron bajo nuestro mando haya caído en estas desgracias es la mayor prueba de que administramos bien los asuntos de nuestros aliados.

[102] ἔπειτ᾽ εἰ μὲν ἄλλοι τινὲς τῶν αὐτῶν πραγμάτων πρᾳότερον ἐπεμελήθησαν, εἰκότως ἂν ἡμῖν ἐπιτιμῷεν: εἰ δὲ μήτε τοῦτο γέγονε μήθ᾽ οἷόν τ᾽ ἐστὶ τοσούτων πόλεων τὸ πλῆθος κρατεῖν, ἣν μή τις κολάζῃ τοὺς ἐξαμαρτάνοντας, πῶς οὐκ ἤδη δίκαιόν ἐστιν ἡμᾶς ἐπαινεῖν, οἵ τινες ἐλαχίστοις χαλεπήναντες πλεῖστον χρόνον τὴν ἀρχὴν κατασχεῖν ἠδυνήθημεν;

102 En segundo lugar, si otros se hubieran ocupado de los mismos asuntos con más suavidad, nos censurarían con razón; pero como esto no ha sucedido, ni es posible dominar tan gran número de ciudades sin castigar a los que cometen faltas, ¿cómo no va a ser de justicia aplaudirnos a nosotros, que, siendo duros con muy pocos, hemos podido retener el mando durante tan largo tiempo?

---

[66] Cf. el magistral diálogo entre melios y atenienses escrito por TUCÍDIDES (V 84-116); al querer mantener su neutralidad los habitantes de Melos, fueron muertos sus hombres en edad militar y esclavizados los demás (año 416 a. C.).

[67] Tuvieron el mismo destino que los melios, pero ellos sí se habían sublevado contra Atenas (TUC., V 32).

[103] οἶμαι δὲ πᾶσι δοκεῖν τούτους κρατίστους προστάτας γενήσεσθαι τῶν Ἑλλήνων, ἐφ᾽ ὧν οἱ πειθαρχήσαντες ἄριστα τυγχάνουσι πράξαντες. ἐπὶ τοίνυν τῆς ἡμετέρας ἡγεμονίας εὑρήσομεν καὶ τοὺς οἴκους τοὺς ἰδίους πρὸς εὐδαιμονίαν πλεῖστον ἐπιδόντας καὶ τὰς πόλεις μεγίστας γενομένας.

103 Creo que todos estarán de acuerdo en que los jefes más capacitados de los griegos serán aquellos cuyos súbditos llegaron a realizar las mejores cosas. Encontraremos que bajo nuestro mando no sólo los asuntos particulares aumentaron extraordinariamente su prosperidad, sino que también las ciudades crecieron.

[104] οὐ γὰρ ἐφθονοῦμεν ταῖς αὐξανομέναις αὐτῶν, οὐδὲ ταραχὰς ἐνεποιοῦμεν πολιτείας ἐναντίας παρακαθιστάντες, ἵν᾽ ἀλλήλοις μὲν στασιάζοιεν, ἡμᾶς δ᾽ ἀμφότεροι θεραπεύοιεν, ἀλλὰ τὴν τῶν συμμάχων ὁμόνοιαν κοινὴν ὠφέλειαν νομίζοντες τοῖς αὐτοῖς νόμοις ἁπάσας τὰς πόλεις διῳκοῦμεν, συμμαχικῶς ἀλλ᾽ οὐ δεσποτικῶς βουλευόμενοι περὶ αὐτῶν, ὅλων μὲν τῶν πραγμάτων ἐπιστατοῦντες,

104 No envidiábamos a las que se ensanchaban ni producíamos desórdenes con el establecimiento de políticas contrarias, para que pelearan entre sí y nos sirvieran unos y otros; por el contrario, con la idea de que la concordia entre los aliados era una utilidad común, gobernábamos todas las ciudades con las mismas leyes y nuestras decisiones sobre ellas eran en plan de aliados, no de tiranos; estábamos al cuidado de todos los asuntos,

[105] ἰδίᾳ δ᾽ ἑκάστους ἐλευθέρους ἐῶντες εἶναι, καὶ τῷ μὲν πλήθει βοηθοῦντες, ταῖς δὲ δυναστείαις πολεμοῦντες, δεινὸν ἡγούμενοι τοὺς πολλοὺς ὑπὸ τοῖς ὀλίγοις εἶναι, καὶ τοὺς ταῖς οὐσίαις ἐνδεεστέρους τὰ δ᾽ ἄλλα μηδὲν χείρους ὄντας ἀπελαύνεσθαι τῶν ἀρχῶν, ἔτι δὲ κοινῆς τῆς πατρίδος οὔσης τοὺς μὲν τυραννεῖν τοὺς δὲ μετοικεῖν, καὶ φύσει πολίτας ὄντας νόμῳ τῆς πολιτείας ἀποστερεῖσθαι.

105 pero permitíamos que cada uno fuera libre en los suyos particulares[68] ayudábamos a la mayoría, hacíamos la guerra a las tiranías, por considerar algo terrible que la mayoría sea sometida por unos pocos y que quienes carecen de bienes, pero no son inferiores en otras cosas, sean excluidos de los cargos públicos, y, además, que en una patria común, sean unos tiranos, otros metecos[69], y que los ciudadanos por nacimiento queden por una ley privados de la ciudadanía.

[106] τοιαῦτ᾽ ἔχοντες ταῖς ὀλιγαρχίαις ἐπιτιμᾶν καὶ πλείω τούτων, τὴν αὐτὴν πολιτείαν ἥνπερ παρ᾽ ἡμῖν αὐτοῖς καὶ παρὰ τοῖς ἄλλοις κατεστήσαμεν, ἣν οὐκ οἶδ᾽ ὅ τι δεῖ διὰ μακροτέρων ἐπαινεῖν, ἄλλως τε καὶ

106 Al tener que censurar a las oligarquías cosas así y aun peores, establecimos entre los demás nuestra propia constitución, que no hay que alabar con palabras grandilocuentes, sobre todo pudiendo explicarla con brevedad. Pues,

[68] Distinción entre «libertad interna» (*autonomía*) y «libertad en las relaciones con otros estados» (*eleuthería*), que es el término que aquí emplea Isócrates (MATHIEU, *Isocrate*… II, pág. 41, nota 2).

[69] Los metecos o «cohabitantes» (*metoíkoi*) eran los ciudadanos de otras localidades que se encontraban en Atenas. No tenían derechos cívicos, pagaban un impuesto de 12 dracmas al año (*metoíkion*) y para cuestiones legales debían ser representados por un ciudadano (*prostátes*). Prestaban el servicio militar y los impuestos extraordinarios igual que los ciudadanos; su número era aproximadamente equivalente a un tercio de los ciudadanos y entre ellos abundaban los comerciantes, industriales y los de profesiones liberales.

συντόμως ἔχοντα δηλῶσαι περὶ αὐτῆς. μετὰ γὰρ ταύτης οἰκοῦντες ἑβδομήκοντ᾽ ἔτη διετέλεσαν ἄπειροι μὲν τυραννίδων, ἐλεύθεροι δὲ πρὸς τοὺς βαρβάρους, ἀστασίαστοι δὲ πρὸς σφᾶς αὐτούς, εἰρήνην δ᾽ ἄγοντες πρὸς πάντας ἀνθρώπους.

viviendo de acuerdo con ella, hemos pasado 70 años sin conocer tiranías, libres frente a los bárbaros, sin revueltas entre nosotros, llevando la paz a todos los hombres[70].

[107] ὑπὲρ ὧν προσήκει τοὺς εὖ φρονοῦντας μεγάλην χάριν ἔχειν πολὺ μᾶλλον ἢ τὰς κληρουχίας ἡμῖν ὀνειδίζειν, ἃς ἡμεῖς εἰς τὰς ἐρημουμένας τῶν πόλεων φυλακῆς ἕνεκα τῶν χωρίων, ἀλλ᾽ οὐ διὰ πλεονεξίαν ἐξεπέμπομεν. σημεῖον δὲ τούτων: ἔχοντες γὰρ χώραν μὲν ὡς πρὸς τὸ πλῆθος τῶν πολιτῶν ἐλαχίστην, ἀρχὴν δὲ μεγίστην, καὶ κεκτημένοι τριήρεις διπλασίας μὲν ἢ σύμπαντες οἱ ἄλλοι,

107 Por eso, conviene que los hombres inteligentes nos tengan un gran agradecimiento, mucho mayor que quienes nos echan en cara las cleruquías[71], que nosotros enviamos a ciudades despobladas para defensa del territorio, no para sacar provecho. Y la prueba es que teníamos un territorio muy pequeño para muchos ciudadanos, pero un imperio muy grande; que, además, habíamos adquirido doble cantidad de trirremes que todos los demás juntos,

[108] δυναμένας δὲ πρὸς δὶς τοσαύτας κινδυνεύειν, ὑποκειμένης τῆς Εὐβοίας ὑπὸ τὴν Ἀττικήν, ἣ καὶ πρὸς τὴν ἀρχὴν τὴν τῆς θαλάττης εὐφυῶς εἶχε καὶ τὴν ἄλλην ἀρετὴν ἁπασῶν τῶν νήσων διέφερε, κρατοῦντες αὐτῆς μᾶλλον ἢ τῆς ἡμετέρας αὐτῶν, καὶ πρὸς τούτοις εἰδότες καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων τούτους μάλιστ᾽ εὐδοκιμοῦντας, οἳ τοὺς ὁμόρους ἀναστάτους ποιήσαντες ἄφθονον καὶ ῥᾴθυμον αὑτοῖς κατεστήσαντο τὸν βίον, ὅμως οὐδὲν τούτων ἡμᾶς ἐπῆρε περὶ τοὺς ἔχοντας τὴν νῆσον ἐξαμαρτεῖν,

108 capaces de combatir a un número dos veces mayor; y, aunque cerca, al sur del Ática, está Eubea, cuya situación es muy ventajosa para el dominio del mar y con otras cualidades que la destacan entre todas las islas, aunque la dominábamos más que a nuestro país, y además, sabíamos que los griegos y bárbaros de mayor fama son quienes, tras haber desterrado a sus vecinos, se procuraron una vida opulenta y fácil, a pesar de todo, nada de esto nos impulsó a atacar a los que vivían en la isla[72],

[109] ἀλλὰ μόνοι δὴ τῶν μεγάλην δύναμιν λαβόντων περιείδομεν ἡμᾶς αὐτοὺς ἀπορωτέρως ζῶντας τῶν δουλεύειν αἰτίαν ἐχόντων. καίτοι βουλόμενοι πλεονεκτεῖν οὐκ ἂν δή που τῆς μὲν Σκιωναίων γῆς ἐπεθυμήσαμεν, ἣν Πλαταιέων τοῖς ὡς ἡμᾶς

109 sino que fuimos los únicos que habiendo alcanzado una gran potencia consentimos en vivir nosotros mismos con más apuros que quienes nos reprochaban que les esclavizábamos. Porque, de haber querido tener más, no hubiéramos deseado el territorio de los

[70] P. CLOCHÉ, *Isocrate…*, pág. 73, ha señalado el lenguaje claramente democrático que hay en los parágrafos 105 y 106.

[71] Las cleruquías eran colonias de ciudadanos atenienses instaladas fuera del Ática. El nombre procede de los lotes de tierra (*kléroi*) que se daban a cada colono. Muchas cleruquías se instalaron en territorios confiscados a miembros de la liga ático-délica. Servían, pues, a un doble objetivo: económico, porque absorbían el excedente de población, y bélico, ya que eran auténticas guarniciones.

[72] Miente Isócrates, pues Atenas estableció numerosas cleruquías en Eubea a la que tenía bajo un dominio muy severo (cf. ARISTÓF., *Nubes* 213). Estas cleruquías se habían establecido en Calcis a finales del siglo VI a. C. y en toda la isla tras la revuelta del año 446 (MATHIEU, *Isocrate…*, pág. 42, nota 2).

καταφυγοῦσι φαινόμεθα παραδόντες, τοσαύτην δὲ χώραν παρελίπομεν, ἣ πάντας ἂν ἡμᾶς εὐπορωτέρους ἐποίησεν.

escionios, que dimos a los plateenses cuando se nos presentaron como refugiados[73], ni habríamos abandonado una tierra capaz de enriquecernos a todos.

[110] τοιούτων τοίνυν ἡμῶν γεγενημένων, καὶ τοσαύτην πίστιν δεδωκότων ὑπὲρ τοῦ μὴ τῶν ἀλλοτρίων ἐπιθυμεῖν, τολμῶσι κατηγορεῖν αἱ τῶν δεκαδαρχιῶν κοινωνήσαντες καὶ τὰς αὑτῶν πατρίδας διαλυμηνάμενοι καὶ μικρὰς μὲν ποιήσαντες δοκεῖν εἶναι τὰς τῶν προγεγενημένων ἀδικίας, οὐδεμίαν δὲ λιπόντες ὑπερβολὴν τοῖς αὖθις βουλομένοις γενέσθαι πονηροῖς, ἀλλὰ φάσκοντες μὲν λακωνίζειν, τἀναντία δ᾽ ἐκείνοις ἐπιτηδεύοντες, καὶ τὰς μὲν Μηλίων ὀδυρόμενοι συμφοράς, περὶ δὲ τοὺς αὑτῶν πολίτας ἀνήκεστα τολμήσαντες ἐξαμαρτεῖν. ποῖον γὰρ αὐτοὺς ἀδίκημα διέφυγεν;

110 Aunque nos hemos comportado así y hemos dado semejante prueba de que no deseamos lo ajeno, se atreven a acusarnos quienes formaron parte de decarquías[74], maltrataron a sus propias patrias, hicieron pequeñas las injusticias de sus antecesores, y no dejaron exceso alguno para los que quisieren más tarde ser perversos. Van diciendo que son partidarios de los lacedemonios, pero se comportan al contrario que aquéllos, y llorando las desgracias de los melios, se atrevieron a causar daños irreparables a sus propios conciudadanos. ¿Qué injuria se les escapó?

Crítica de la política espartana (111-128)

[111] ἢ τί τῶν αἰσχρῶν ἢ δεινῶν οὐ διεξῆλθον; οἳ τοὺς μὲν ἀνομωτάτους πιστοτάτους ἐνόμιζον, τοὺς δὲ προδότας ὥσπερ εὐεργέτας ἐθεράπευον, ᾑροῦντο δὲ τῶν Εἱλώτων ἑνὶ δουλεύειν ὥστ᾽ εἰς τὰς αὑτῶν πατρίδας ὑβρίζειν, μᾶλλον δ᾽ ἐτίμων τοὺς αὐτόχειρας καὶ φονέας τῶν πολιτῶν ἢ τοὺς γονέας τοὺς αὑτῶν,

111 ¿Qué hecho vergonzoso o indigno no llevaron a cabo? Ellos consideraban a los más enemigos de las leyes los más fieles, trataban a los traidores como bienhechores, prefirieron ser esclavos de un ilota[75] para injuriar a sus propias patrias, y estimaban más a los homicidas y criminales que a sus propios padres;

[112] εἰς τοῦτο δ᾽ ὠμότητος ἅπαντας ἡμᾶς κατέστησαν, ὥστε πρὸ τοῦ μὲν διὰ τὴν παροῦσαν εὐδαιμονίαν καὶ ταῖς μικραῖς ἀτυχίαις πολλοὺς ἕκαστον ἡμῶν ἔχειν τοὺς συμπενθήσοντας, ἐπὶ δὲ τῆς τούτων ἀρχῆς διὰ τὸ πλῆθος τῶν οἰκείων κακῶν ἐπαυσάμεθ᾽ ἀλλήλους ἐλεοῦντες. οὐδενὶ γὰρ τοσαύτην σχολὴν παρέλιπον ὥσθ᾽ ἑτέρῳ συναχθεσθῆναι.

112 nos presentaron tan inhumanos que, antes, cuando éramos prósperos, cada uno de nosotros tenía muchos para compadecerle en las pequeñas desgracias, y en cambio, bajo su gobierno, debido a la multitud de males propios, dejamos de compadecernos unos de otros; pues a nadie le dejaron tranquilidad como para consolar a otro.

---

[73] Cf. Plateense.

[74] El almirante espartano Lisandro estableció decarquías (10 oligarcas con la protección de un harmosta —jefe militar espartano—) para gobernar las ciudades griegas; en Atenas este número fue elevado a treinta, los famosos Treinta tiranos (cf. JENOF., *Hel* III 5, 13).

[75] Se decía que la madre de Lisandro era de origen ilota.

[113] τίνος γὰρ οὐκ ἐφίκοντο; ἢ τίς οὕτω πόρρω τῶν πολιτικῶν ἦν πραγμάτων, ὅστις οὐκ ἐγγὺς ἠναγκάσθη γενέσθαι τῶν συμφορῶν, εἰς ἃς αἱ τοιαῦται φύσεις ἡμᾶς κατέστησαν; εἶτ᾽ οὐκ αἰσχύνονται τὰς ἑαυτῶν πόλεις οὕτως ἀνόμως διαθέντες καὶ τῆς ἡμετέρας ἀδίκως κατηγοροῦντες, ἀλλὰ πρὸς τοῖς ἄλλοις καὶ περὶ τῶν δικῶν καὶ τῶν γραφῶν τῶν ποτε παρ᾽ ἡμῖν γενομένων λέγειν τολμῶσιν, αὐτοὶ πλείους ἐν τρισὶ μησὶν ἀκρίτους ἀποκτείναντες ὧν ἡ πόλις ἐπὶ τῆς ἀρχῆς ἁπάσης ἔκρινεν.

113 Porque ¿a quién dejaron de atacar? ¿Quién estaba tan alejado de la política que no se viera forzado a encontrarse en las desgracias a que tales maneras de ser nos condujeron? Y, encima, no se avergüenzan quienes, después de administrar con tanta ilegalidad sus propias ciudades, también acusan a la nuestra injustamente, sino que además de otras cosas, se atreven a hablar de los procesos privados y públicos celebrados entre nosotros en otro tiempo, ellos, que mataron sin juicio en tres meses a más de los que la ciudad juzgó en todo su gobierno.

[114] φυγὰς δὲ καὶ στάσεις καὶ νόμων συγχύσεις καὶ πολιτειῶν μεταβολάς, ἔτι δὲ παίδων ὕβρεις καὶ γυναικῶν αἰσχύνας καὶ χρημάτων ἁρπαγάς, τίς ἂν δύναιτο διεξελθεῖν; πλὴν τοσοῦτον εἰπεῖν ἔχω καθ᾽ ἁπάντων, ὅτι τὰ μὲν ἐφ᾽ ἡμῶν δεινὰ ῥᾳδίως ἄν τις ἑνὶ ψηφίσματι διέλυσε, τὰς δὲ σφαγὰς καὶ τὰς ἀνομίας τὰς ἐπὶ τούτων γενομένας οὐδεὶς ἂν ἰάσασθαι δύναιτο.

114 ¿Quién podría enumerar los destierros, las revueltas civiles, las violaciones de leyes, los cambios de constituciones, los ultrajes contra los niños, las mujeres deshonradas y los pillajes de dinero? Aparte de esto, puedo decir en general que con un solo decreto se hubieran podido terminar con facilidad los males ocurridos bajo nuestro gobierno[76], pero nadie podría remediar los asesinatos e ilegalidades producidos bajo su poder.

[115] καὶ μὴν οὐδὲ τὴν παροῦσαν εἰρήνην, οὐδὲ τὴν αὐτονομίαν τὴν ἐν ταῖς πολιτείαις μὲν οὐκ ἐνοῦσαν ἐν δὲ ταῖς συνθήκαις ἀναγεγραμμένην, ἄξιον ἑλέσθαι μᾶλλον ἢ τὴν ἀρχὴν τὴν ἡμετέραν. τίς γὰρ ἂν τοιαύτης καταστάσεως ἐπιθυμήσειεν, ἐν ᾗ καταποντισταὶ μὲν τὴν θάλατταν κατέχουσι, πελτασταὶ δὲ τὰς πόλεις καταλαμβάνουσιν,

115 Ni la paz presente ni la autonomía[77] que sin existir en las constituciones está escrita en los tratados, son preferibles a nuestro gobierno. Pues ¿quién desearía una situación en la que los piratas dominan el mar, los peltastas ocupan las ciudades[78],

[116] ἀντὶ δὲ τοῦ πρὸς ἑτέρους περὶ τῆς χώρας πολεμεῖν ἐντὸς τείχους οἱ πολῖται πρὸς ἀλλήλους μάχονται, πλείους δὲ πόλεις αἰχμάλωτοι γεγόνασιν ἢ πρὶν τὴν εἰρήνην

116 los ciudadanos luchan entre sí dentro de sus muros en vez de pelear contra otros para defender su territorio, están cautivas más ciudades que antes de firmar la paz[79], y por los

[76] El año 378-377 a. C. la asamblea aprobó el decreto que dio paso a la segunda confederación que anuló las nefastas medidas a las que aquí alude Isócrates. La influencia de nuestro autor en el logro de esta segunda liga, gracias precisamente al Panegírico, es imposible de negar.
[77] Para A. LEVI, *Isocrate*…, pág. 101, autonomía significa «libertad de administrarse».
[78] Los peltastas, armados de jabalina (*pélta*, de ahí su nombre) arma típicamente tracia, aparecen con este nombre en el siglo V a. C. Eran de hecho, una infantería ligera por oposición a la infantería pesada, los hoplitas.
[79] Se refiere a la paz de Antálcidas, firmada el año 397 a. C. Sus cláusulas pueden verse en JENOF., *Hel*. V 1, 31.

ἡμᾶς ποιήσασθαι, διὰ δὲ τὴν πυκνότητα τῶν μεταβολῶν ἀθυμοτέρως διάγουσιν οἱ τὰς πόλεις οἰκοῦντες τῶν ταῖς φυγαῖς ἐζημιωμένων: οἱ μὲν γὰρ τὸ μέλλον δεδίασιν, οἱ δ᾽ ἀεὶ κατιέναι προσδοκῶσιν.

frecuentísimos cambios políticos viven con más desesperación quienes se quedan en las ciudades que los castigados con destierro? Porque unos temen siempre el futuro y a los otros les parece siempre que van a regresar.

[117] τοσοῦτον δ᾽ ἀπέχουσι τῆς ἐλευθερίας καὶ τῆς αὐτονομίας, ὥσθ᾽ αἱ μὲν ὑπὸ τυράννοις εἰσί, τὰς δ᾽ ἁρμοσταὶ κατέχουσιν, ἔνιαι δ᾽ ἀνάστατοι γεγόνασι, τῶν δ᾽ οἱ βάρβαροι δεσπόται καθεστήκασιν: οὓς ἡμεῖς διαβῆναι τολμήσαντας εἰς τὴν Εὐρώπην καὶ μεῖζον ἢ προσῆκεν αὐτοῖς φρονήσαντας

117 Estas ciudades se alejan tanto de la libertad y la autonomía, que unas están bajo tiranos, otras albergan harmostes, algunas están devastadas y de otras se han hecho señores los bárbaros. A éstos, cuando se atrevieron a pasar a Europa y eran más engreídos de lo que les convenía,

[118] οὕτω διέθεμεν, ὥστε μὴ μόνον παύσασθαι στρατείας ἐφ᾽ ἡμᾶς ποιουμένους ἀλλὰ καὶ τὴν αὑτῶν χώραν ἀνέχεσθαι πορθουμένην, καὶ διακοσίαις καὶ χιλίαις ναυσὶ περιπλέοντας εἰς τοσαύτην ταπεινότητα κατεστήσαμεν, ὥστε μακρὸν πλοῖον ἐπὶ τάδε Φασήλιδος μὴ καθέλκειν, ἀλλ᾽ ἡσυχίαν ἄγειν καὶ τοὺς καιροὺς περιμένειν, ἀλλὰ μὴ τῇ παρούσῃ δυνάμει πιστεύειν.

118 nosotros les pusimos en tal situación que no sólo cesaron de hacer expediciones contra nosotros, sino que soportaron ver arrasada su propia tierra[80]; y, cuando navegaron con 1.200 naves, les humillamos tanto que no botaron un barco grande hasta Fasélide[81], estuvieron en calma y aguardaron ocasiones favorables, pero no confiaron en su fuerza presente.

[119] καὶ ταῦθ᾽ ὅτι διὰ τὴν τῶν προγόνων τῶν ἡμετέρων ἀρετὴν οὕτως εἶχεν, αἱ τῆς πόλεως συμφοραὶ σαφῶς ἐπέδειξαν: ἅμα γὰρ ἡμεῖς τε τῆς ἀρχῆς ἀπεστερούμεθα καὶ τοῖς Ἕλλησιν ἀρχὴ τῶν κακῶν ἐγίγνετο. μετὰ γὰρ τὴν ἐν Ἑλλησπόντῳ γενομένην ἀτυχίαν ἑτέρων ἡγεμόνων καταστάντων ἐνίκησαν μὲν οἱ βάρβαροι ναυμαχοῦντες, ἦρξαν δὲ τῆς θαλάττης, κατέσχον δὲ τὰς πλείστας τῶν νήσων, ἀπέβησαν δ᾽ εἰς τὴν Λακωνικήν, Κύθηρα δὲ κατὰ κράτος εἷλον, ἅπασαν δὲ τὴν Πελοπόννησον κακῶς ποιοῦντες περιέπλευσαν.

119 Que esto fue así a causa del valor de nuestros antepasados, lo demuestran suficientemente las desgracias de la ciudad; pues, tan pronto como fuimos despojados del poder, también comenzaron los males de los griegos. Tras el desastre producido en el Helesponto[82], cuando estaban establecidos otros jefes, los bárbaros vencieron en combate naval[83], se hicieron con el dominio del mar, ocuparon la mayoría de las islas, desembarcaron en Laconia, tomaron Citera por la fuerza y costearon todo el Peloponeso causando estragos.

[80] Referencia a la victoria del general ateniense Cimón sobre los persas a orillas del río Eurimedonte (año 465 a. C.).
[81] Por la paz de Calias (año 448 a. C.) Persia renunció a intervenir con su escuadra más allá de Fasélide; Chipre y las ciudades griegas de Asia Menor permanecían dentro del imperio persa, aunque conservaban su autonomía. Se reconocía la hegemonía de Atenas en el Egeo.
[82] En la batalla de Egospótamos, año 405 a. C.
[83] En la batalla de Cnido (año 394 a. C.) la flota persa, dirigida por el almirante ateniense Conón, aniquiló a la espartana.

[120] μάλιστα δ᾽ ἄν τις συνίδοι τὸ μέγεθος τῆς μεταβολῆς, εἰ παραναγνοίη τὰς συνθήκας τάς τ᾽ ἐφ᾽ ἡμῶν γενομένας καὶ τὰς νῦν ἀναγεγραμμένας. τότε μὲν γὰρ ἡμεῖς φανησόμεθα τὴν ἀρχὴν τὴν βασιλέως ὁρίζοντες καὶ τῶν φόρων ἐνίους τάττοντες καὶ κωλύοντες αὐτὸν τῇ θαλάττῃ χρῆσθαι: νῦν δ᾽ ἐκεῖνός ἐστιν ὁ διοικῶν τὰ τῶν Ἑλλήνων, καὶ προστάττων ἃ χρὴ ποιεῖν ἑκάστους, καὶ μόνον οὐκ ἐπιστάθμους ἐν ταῖς πόλεσι καθιστάς.

120 Cualquiera comprendería muy bien la magnitud del cambio si leyera los tratados efectuados cuando temamos la hegemonía nosotros y los suscritos ahora. Se verá que entonces limitamos el imperio del Rey, le impusimos algunos tributos y le impedimos utilizar el mar; pero ahora es el Rey quien gobierna los asuntos de los griegos[84], ordena lo que debe hacer cada uno y sólo le falta imponer gobernadores en las ciudades.

[121] πλὴν γὰρ τούτου τί τῶν ἄλλων ὑπόλοιπόν ἐστιν; οὐ καὶ τοῦ πολέμου κύριος ἐγένετο, καὶ τὴν εἰρήνην ἐπρυτάνευσε, καὶ τῶν παρόντων πραγμάτων ἐπιστάτης καθέστηκεν; οὐχ ὡς ἐκεῖνον πλέομεν ὥσπερ πρὸς δεσπότην. ἀλλήλων κατηγορήσοντες; οὐ βασιλέα τὸν μέγαν αὐτὸν προσαγορεύομεν, ὥσπερ αἰχμάλωτοι γεγονότες; οὐκ ἐν τοῖς πολέμοις τοῖς πρὸς ἀλλήλους ἐν ἐκείνῳ τὰς ἐλπίδας ἔχομεν τῆς σωτηρίας, ὃς ἀμφοτέρους ἡμᾶς ἡδέως ἂν ἀπολέσειεν;

121 Pues, salvo esto, ¿qué le queda por hacer? ¿No fue señor de la guerra, dirigió la paz y se hizo árbitro de los asuntos presentes? ¿No navegamos hacia él como hacia un amo para acusarnos mutuamente? ¿No le llamamos Gran Rey como si fuéramos sus siervos? ¿No fijamos las esperanzas de salvación durante nuestras guerras mutuas en él, que gustosamente nos aniquilaría a unos y otros?

[122] ὧν ἄξιον ἐνθυμηθέντας ἀγανακτῆσαι μὲν ἐπὶ τοῖς παροῦσι, ποθέσαι δὲ τὴν ἡγεμονίαν τὴν ἡμετέραν, μέμψασθαι δὲ Λακεδαιμονίοις ὅτι τὴν μὲν ἀρχὴν εἰς τὸν πόλεμον κατέστησαν ὡς ἐλευθερώσοντες τοὺς Ἕλληνας, ἐπὶ δὲ τελευτῆς οὕτω πολλοὺς αὐτῶν ἐκδότους ἐποίησαν, καὶ τῆς μὲν ἡμετέρας πόλεως τοὺς Ἴωνας ἀπέστησαν, ἐξ ἧς ἀπῴκησαν καὶ δι᾽ ἣν πολλάκις ἐσώθησαν, τοῖς δὲ βαρβάροις αὐτοὺς ἐξέδοσαν, ὧν ἀκόντων τὴν χώραν ἔχουσι καὶ πρὸς οὓς οὐδὲ πώποτ᾽ ἐπαύσαντο πολεμοῦντες.

122 Al reflexionar sobre estos hechos, es justo indignarse por la situación presente, desear nuestra hegemonía y reprochar a los lacedemonios, porque al principio llegaron a ponerse en pie de guerra con el pretexto de liberar a los griegos[85], pero al final entregaron a muchísimos de ellos a los bárbaros; porque desterraron a los jonios de nuestra ciudad, de la que los mismos jonios habían emigrado[86] y gracias a la cual se salvaron muchas veces, y porque les entregaron a los bárbaros, cuya tierra ocupan, a pesar de ellos, y contra los que nunca dejaron de pelear.

[123] καὶ τότε μὲν ἠγανάκτουν, ὅθ᾽ ἡμεῖς νομίμως ἐπάρχειν τινῶν ἠξιοῦμεν: νῦν δ᾽ εἰς τοιαύτην δουλείαν καθεστώτων οὐδὲν

123 Antes, los lacedemonios se indignaban cuando creíamos conveniente gobernar a algunos de acuerdo con la ley; pero ahora nada

---

[84] Cf. JENOF., *Hel.* VI 3, 9.

[85] Cf. nota 12 de este mismo discurso.

[86] Según una tradición ática, Ión fundador del pueblo jonio, descendía de Erecteo; en efecto, la madre de Ión, Creusa, era hija de Erecteo. Ión habría conducido desde Atenas la migración que colonizó Jonia.

φροντίζουσιν αὐτῶν, οἷς οὐκ ἐξαρκεῖ δασμολογεῖσθαι καὶ τὰς ἀκροπόλεις ὁρᾶν ὑπὸ τῶν ἐχθρῶν κατεχομένας, ἀλλὰ πρὸς ταῖς κοιναῖς συμφοραῖς καὶ τοῖς σώμασι δεινότερα πάσχουσι τῶν παρ᾽ ἡμῖν ἀργυρωνήτων: οὐδεὶς γὰρ ἡμῶν οὕτως αἰκίζεται τοὺς οἰκέτας, ὡς ἐκεῖνοι τοὺς ἐλευθέρους κολάζουσιν.

se preocupan de aquellos que han llegado a tal grado de esclavitud que no les basta con pagar tributos y ver sus acrópolis ocupadas por sus enemigos, sino que, además de las desgracias comunes, sufren en sus cuerpos vejaciones más terribles que las de nuestros esclavos comprados con dinero; pues ninguno de nosotros maltrata tanto a sus siervos como ellos castigan a hombres libres.

[124] μέγιστον δὲ τῶν κακῶν, ὅταν ὑπὲρ αὐτῆς τῆς δουλείας ἀναγκάζωνται συστρατεύεσθαι, καὶ πολεμεῖν τοῖς ἐλευθέροις ἀξιοῦσιν εἶναι, καὶ τοιούτους κινδύνους ὑπομένειν, ἐν οἷς ἡττηθέντες μὲν παραχρῆμα διαφθαρήσονται, κατορθώσαντες δὲ μᾶλλον εἰς τὸν λοιπὸν χρόνον δουλεύσουσιν.

124 Y el mayor de los males es cuando son obligados a hacer con ellos una expedición para defender su misma esclavitud, a luchar contra quienes quieren ser libres y a soportar peligros de tal naturaleza que, si son vencidos, serán aniquilados de inmediato, y, si han vencido, sufrirán mayor esclavitud en el futuro.

[125] ὧν τίνας ἄλλους αἰτίους χρὴ νομίζειν ἢ Λακεδαιμονίους, οἳ τοσαύτην ἰσχὺν ἔχοντες περιορῶσι τοὺς μὲν αὑτῶν συμμάχους γενομένους οὕτω δεινὰ πάσχοντας, τὸν δὲ βάρβαρον τῇ τῶν Ἑλλήνων ῥώμῃ τὴν ἀρχὴν τὴν αὑτοῦ κατασκευαζόμενον; καὶ πρότερον μὲν τοὺς τυράννους ἐξέβαλλον, τῷ δὲ πλήθει τὰς βοηθείας ἐποιοῦντο, νῦν δὲ τοσοῦτον μεταβεβλήκασιν, ὥστε ταῖς μὲν πολιτείαις πολεμοῦσι,

125 Y de esto ¿a qué otros hay que considerar culpables sino a los lacedemonios, quienes, a pesar de su gran poder, ven con indiferencia sufrir males terribles a sus antiguos aliados, y al bárbaro acrecentar su propio imperio con la fuerza de los griegos? Los lacedemonios antes arrojaban a los tiranos[87] y prestaban ayuda al pueblo, pero ahora han cambiado tanto que hacen la guerra a las instituciones democráticas y consolidan las monarquías.

[126] τὰς δὲ μοναρχίας συγκαθιστᾶσι. τὴν μέν γε Μαντινέων πόλιν εἰρήνης ἤδη γεγενημένης ἀνάστατον ἐποίησαν, καὶ τὴν Θηβαίων Καδμείαν κατέλαβον, καὶ νῦν Ὀλυνθίους καὶ Φλιασίους πολιορκοῦσιν, Ἀμύντᾳ δὲ τῷ Μακεδόνων βασιλεῖ καὶ Διονυσίῳ τῷ Σικελίας τυράννῳ καὶ τῷ βαρβάρῳ τῷ τῆς Ἀσίας

126 Y así es que después de firmarse la paz, arrasaron la ciudad de Mantinea[88], se apoderaron de Cadmea de Tebas[89], ahora sitian Olinto y Fliunte[90] y cooperan con Amintas[91], rey de Macedonia, con Dionisio[92] tirano de Sicilia y con el bárbaro que domina Asia, para que todos ellos consigan el mayor poder.

[87] Alusión a la ayuda prestada por Esparta para la expulsión de los Pisistrátidas, tiranos de Atenas.
[88] El año 385 a. C. (cf. JENOF., *Hel*. V 2, 7).
[89] Tomada por el harmosta Fébidas el año 382 a. C.
[90] El sitio de Olinto duró del año 382 al 379; el de Fliunte, del 381 al 379; ya comentamos en la introducción a este discurso que este dato hace fechar con seguridad el Panegírico en el año 380 antes de Cristo.
[91] Amintas, rey de Macedonia, padre de Filipo, ayudó a los espartanos contra Olinto.
[92] Dionisio fue durante todo su reinado aliado de Esparta (véase *Sobre la paz* 99). Ya veremos cómo cambia Isócrates cuando llegue a proponer a Dionisio, a quien ahora critica, la dirección de la guerra contra Persia.

κρατοῦντι συμπράττουσιν ὅπως ὡς μεγίστην ἀρχὴν ἕξουσιν.

[127] καίτοι πῶς οὐκ ἄτοπον τοὺς προεστῶτας τῶν Ἑλλήνων ἕνα μὲν ἄνδρα τοσούτων ἀνθρώπων καθιστάναι δεσπότην, ὧν οὐδὲ τὸν ἀριθμὸν ἐξευρεῖν ῥᾴδιόν ἐστι, τὰς δὲ μεγίστας τῶν πόλεων μηδ᾽ αὐτὰς αὑτῶν ἐᾶν εἶναι κυρίας, ἀλλ᾽ ἀναγκάζειν δουλεύειν ἢ ταῖς μεγίσταις συμφοραῖς περιβάλλειν;

127 ¿No es absurdo que los jefes de los griegos establezcan a un sólo hombre como señor de tantos hombres que ni es fácil saber su número y que, en cambio, no permitan a las mayores ciudades ser dueñas de sí mismas, sino que las obliguen a ser esclavas o a caer en las mayores desgracias?

[128] ὃ δὲ πάντων δεινότατον, ὅταν τις ἴδῃ τοὺς τὴν ἡγεμονίαν ἔχειν ἀξιοῦντας ἐπὶ μὲν τοὺς Ἕλληνας καθ᾽ ἑκάστην τὴν ἡμέραν στρατευομένους, πρὸς δὲ τοὺς βαρβάρους εἰς ἅπαντα τὸν χρόνον συμμαχίαν πεποιημένους.

128 Y lo peor de todo es que uno pueda ver que quienes se consideran merecedores de alcanzar la hegemonía luchen cada día contra los griegos y tengan hecha una alianza eterna con los bárbaros.

Necesidad de luchar contra Persia (129-137)

[129] καὶ μηδεὶς ὑπολάβῃ με δυσκόλως ἔχειν, ὅτι τραχύτερον τούτων ἐμήσθην, προειπὼν ὡς περὶ διαλλαγῶν ποιήσομαι τοὺς λόγους: οὐ γὰρ ἵνα πρὸς τοὺς ἄλλους διαβάλω τὴν πόλιν τὴν Λακεδαιμονίων οὕτως εἴρηκα περὶ αὐτῶν, ἀλλ᾽ ἵν᾽ αὐτοὺς ἐκείνους παύσω, καθ᾽ ὅσον ὁ λόγος δύναται, τοιαύτην ἔχοντας τὴν γνώμην.

129 Que nadie suponga que estoy de malhumor, porque recordé esto con más aspereza, cuando he dicho antes que mi discurso versaría sobre la reconciliación. Pues no hablé así de los lacedemonios para desacreditar su ciudad ante otros, sino para apartarlos, en la medida que pueda hacerlo un discurso, de esta manera de pensar que tienen.

[130] ἔστι δὲ οὐχ οἷόν τ᾽ ἀποτρέπειν τῶν ἁμαρτημάτων, οὐδ᾽ ἑτέρων πράξεων πείθειν ἐπιθυμεῖν, ἢν μή τις ἐρρωμένως ἐπιτιμήσῃ τοῖς παροῦσιν: χρὴ δὲ κατηγορεῖν μὲν ἡγεῖσθαι τοὺς ἐπὶ βλάβῃ τοιαῦτα λέγοντας, νουθετεῖν δὲ τοὺς ἐπ᾽ ὠφελείᾳ λοιδοροῦντας. τὸν γὰρ αὐτὸν λόγον οὐχ ὁμοίως ὑπολαμβάνειν δεῖ, μὴ μετὰ τῆς αὐτῆς διανοίας λεγόμενον.

130 Porque no se puede desviar de acciones erróneas ni persuadir a desear cosas diferentes si antes no se censura con valentía las circunstancias actuales. Hay que considerar, en efecto, acusadores a quienes hablan así para hacer daño, y amonestadores, en cambio, a los que censuran para ayudar. No se debe entender, por tanto, de idéntica manera un mismo discurso que se pronuncia con distinta intención[93].

[131] ἐπεὶ καὶ τοῦτ᾽ ἔχομεν αὐτοῖς ἐπιτιμᾶν, ὅτι τῇ μὲν αὑτῶν πόλει τοὺς ὁμόρους εἱλωτεύειν ἀναγκάζουσι, τῷ δὲ κοινῷ τῷ τῶν συμμάχων οὐδὲν τοιοῦτον κατασκευάζουσιν, ἐξὸν αὐτοῖς

131 También podemos censurar esto a los lacedemonios, quienes en su propia ciudad obligan a sus vecinos a servir como hilotas, pero no organizan así la comunidad de sus aliados,

[93] D. GILLIS, «Isócrates Panegyricus: the rhetorical texture», *Wiener Studien* 84 (1971), pág. 56 ss., interpreta los parágrafos 129 y 130 como reparación del posible daño hecho a la unidad panhelénica por las anteriores críticas de Isócrates a Esparta.

τὰ πρὸς ἡμᾶς διαλυσαμένοις ἅπαντας τοὺς βαρβάρους περιοίκους ὅλης τῆς Ἑλλάδος καταστῆσαι.

cuando podían, tras reconciliarse con nosotros, hacer a todos los bárbaros periecos de Grecia entera.

[132] καίτοι χρὴ τοὺς φύσει καὶ μὴ διὰ τύχην μέγα φρονοῦντας τοιούτοις ἔργοις ἐπιχειρεῖν πολὺ μᾶλλον ἢ τοὺς νησιώτας δασμολογεῖν, οὓς ἄξιόν ἐστιν ἐλεεῖν, ὁρῶντας τούτους μὲν διὰ σπανιότητα τῆς γῆς ὄρη γεωργεῖν ἀναγκαζομένους, τοὺς δ᾽ ἠπειρώτας δι᾽ ἀφθονίαν τῆς χώρας τὴν μὲν πλείστην αὐτῆς ἀργὸν περιορῶντας, ἐξ ἧς δὲ καρποῦνται τοσοῦτον πλοῦτον κεκτημένους.

132 Los que son orgullosos por naturaleza y no por azar[94] tienen que intentar empresas de este tipo en lugar de imponer impuestos a los isleños, a quienes se debe compadecer al verlos por la estrechez de su tierra obligados a cultivar montañas, mientras que los continentales, por la abundancia de su territorio, dejan sin cultivar la mayor parte, y del que cultivan obtienen tanta riqueza.

[133] ἡγοῦμαι δ᾽, εἴ τινες ἄλλοθεν ἐπελθόντες θεαταὶ γένοιντο τῶν παρόντων πραγμάτων, πολλὴν ἂν αὐτοὺς καταγνῶναι μανίαν ἀμφοτέρων ἡμῶν, οἵ τινες οὕτω περὶ μικρῶν κινδυνεύομεν, ἐξὸν ἀδεῶς πολλὰ κεκτῆσθαι, καὶ τὴν ἡμετέραν αὐτῶν χώραν διαφθείρομεν, ἀμελήσαντες τὴν Ἀσίαν καρποῦσθαι.

133 Creo que si viniera alguien de fuera y contemplase la situación actual, condenaría la gran locura de nuestros dos pueblos, cuando corremos tanto riesgo en cosas de poca importancia, siéndonos posible adquirir muchas sin dificultad, y arrasamos nuestra propia tierra, despreocupándonos de sacar provecho del Asia.

[134] καὶ τῷ μὲν οὐδὲν προὐργιαίτερόν ἐστιν ἢ σκοπεῖν ἐξ ὧν μηδέποτε παυσόμεθα πρὸς ἀλλήλους πολεμοῦντες: ἡμεῖς δὲ τοσούτου δέομεν συγκρούειν τι τῶν ἐκείνου πραγμάτων ἢ ποιεῖν στασιάζειν, ὥστε καὶ τὰς διὰ τύχην αὐτῷ γεγενημένας ταραχὰς συνδιαλύειν ἐπιχειροῦμεν, οἵ τινες καὶ τοῖν στρατοπέδοιν τοῖν περὶ Κύπρον ἐῶμεν αὐτὸν τῷ μὲν χρῆσθαι τὸ δὲ πολιορκεῖν, ἀμφοτέροιν αὐτοῖν τῆς Ἑλλάδος ὄντοιν.

134 Al Gran Rey, en cambio, nada le conviene más que examinar cuáles son los hechos por los que nunca dejaremos de combatir entre nosotros; nosotros, sin embargo, tan lejos estamos de estorbar alguna de sus acciones o de rebelarnos, que intentamos ayudar a sofocar los tumultos que se producen contra él espontáneamente, nosotros, que, de los dos ejércitos que hay en Chipre[95], le permitimos usar uno y sitiar al otro, siendo así que los dos son griegos.

[135] οἵ τε γὰρ ἀφεστῶτες πρὸς ἡμᾶς τ᾽ οἰκείως ἔχουσι καὶ Λακεδαιμονίοις σφᾶς αὐτοὺς ἐνδιδόασιν, τῶν τε μετὰ Τειριβάζου στρατευομένων καὶ τοῦ πεζοῦ τὸ χρησιμώτατον ἐκ τῶνδε τῶν τόπων ἤθροισται,

135 Pues, los que hicieron defección están en buenas relaciones con nosotros y se confían a los lacedemonios; y de los que están en el ejército de Tiribazo, la infantería más útil se recluta en estos lugares y la mayor parte de la flota navegó

[94] G. HEILBRUNN, «*Isocrates*…», pág. 168, nota 66, hace notar el contraste entre «naturaleza» (*phýsis*) y «azar» (*týche*); los grandes proyectos, como la expedición panhelénica, se logran con una reputación resultado de la propia habilidad, no del azar.

[95] Se refiere a la guerra de diez años entre el rey persa Artajerjes II y Evágoras, rey de Salamina, en Chipre (cf. *Evágoras* 64 ss.). En ambos ejércitos había mercenarios griegos.

καὶ τοῦ ναυτικοῦ τὸ πλεῖστον ἀπ᾽ Ἰωνίας συμπέπλευκεν, οἳ πολὺ ἂν ἥδιον κοινῇ τὴν Ἀσίαν ἐπόρθουν ἢ πρὸς ἀλλήλους ἕνεκα μικρῶν ἐκινδύνευον.

desde Jonia; estos hombres preferirían arrasar en común Asia que luchar entre sí por cosas de poca importancia.

[136] ὧν ἡμεῖς οὐδεμίαν ποιούμεθα πρόνοιαν, ἀλλὰ περὶ μὲν τῶν Κυκλάδων νήσων ἀμφισβητοῦμεν, τοσαύτας δὲ τὸ πλῆθος πόλεις καὶ τηλικαύτας τὸ μέγεθος δυνάμεις οὕτως εἰκῇ τῷ βαρβάρῳ παραδεδώκαμεν. τοιγαροῦν τὰ μὲν ἔχει, τὰ δὲ μέλλει, τοῖς δ᾽ ἐπιβουλεύει, δικαίως ἁπάντων ἡμῶν καταπεφρονηκώς.

136 Nada de esto prevemos, sino que disputamos sobre las islas Cicladas[96], y tenemos entregadas al bárbaro tan a la ligera a la mayoría de las grandes ciudades y unas fuerzas considerables por su número. Y así tiene unas, otras está a punto de tenerlas, contra otras conspira, despreciándonos a todos nosotros con razón.

[137] διαπέπρακται γὰρ ὃ τῶν ἐκείνου προγόνων οὐδεὶς πώποτε: τήν τε γὰρ Ἀσίαν διωμολόγηται καὶ παρ᾽ ἡμῶν καὶ παρὰ Λακεδαιμονίων βασιλέως εἶναι, τάς τε πόλεις τὰς Ἑλληνίδας οὕτω κυρίως παρείληφεν, ὥστε τὰς μὲν αὐτῶν κατασκάπτειν, ἐν δὲ ταῖς ἀκροπόλεις ἐντειχίζειν. καὶ ταῦτα πάντα γέγονε διὰ τὴν ἡμετέραν ἄνοιαν, ἀλλ᾽ οὐ διὰ τὴν ἐκείνου δύναμιν.

137 Pues ha logrado lo que nunca consiguió ninguno de sus antepasados: nosotros y los lacedemonios reconocemos que Asia es del Rey[97]; y ejerce un poder tan señorial sobre las ciudades griegas que destruye unas y sobre otras fortifica ciudadelas. Y todo esto viene ocurriendo por nuestra insensatez, no por su fuerza.

Motivos de la guerra (138-159)

[138] καίτοι τινὲς θαυμάζουσι τὸ μέγεθος τῶν βασιλέως πραγμάτων, καί φασιν αὐτὸν εἶναι δυσπολέμητον, διεξιόντες ὡς πολλὰς τὰς μεταβολὰς τοῖς Ἕλλησι πεποίηκεν. ἐγὼ δ᾽ ἡγοῦμαι μὲν τοὺς ταῦτα λέγοντας οὐκ ἀποτρέπειν ἀλλ᾽ ἐπισπεύδειν τὴν στρατείαν: εἰ γὰρ ἡμῶν ὁμονοησάντων αὐτὸς ἐν ταραχαῖς ὢν χαλεπὸς ἔσται προσπολεμεῖν, ἦ που σφόδρα χρὴ δεδιέναι τὸν καιρὸν ἐκεῖνον, ὅταν τὰ μὲν τῶν βαρβάρων καταστῇ καὶ διὰ μιᾶς γένηται γνώμης, ἡμεῖς δὲ πρὸς ἀλλήλους ὥσπερ νῦν πολεμικῶς ἔχωμεν.

138 Algunos, ciertamente, admiran la magnitud de las empresas del Rey y dicen que es difícil de vencer, aduciendo que ha introducido muchos cambios entre los griegos. Pero yo creo que quienes hablan así no obstaculizan la expedición, sino que la aceleran. Porque si iba a ser difícil hacerle la guerra estando nosotros de acuerdo y el Rey en dificultades, mucho más se ha de temer el momento en que la situación de los bárbaros se restablezca y se aúnen en un solo criterio, mientras que nosotros seguiremos peleando unos contra otros como ahora.

[139] οὐ μὴν οὐδ᾽ εἰ συναγορεύουσι τοῖς ὑπ᾽ ἐμοῦ λεγομένοις, οὐδ᾽ ὧς ὀρθῶς περὶ τῆς ἐκείνου δυνάμεως γιγνώσκουσιν. εἰ μὲν γὰρ ἀπέφαινον αὐτὸν ἅμα τοῖν πολέοιν

139 Ni aunque estuvieran conformes con mis palabras, ni siquiera así conocen con exactitud la fuerza de aquél. Si consiguieran demostrar que el Rey con anterioridad ha vencido alguna vez

[96] Los espartanos cobraban tributos y mantenían guarniciones en las Cicladas.
[97] Referencia a las cláusulas de la paz de Antálcidas (cf. n. 79).

ἀμφοτέροιν πρότερόν ποτε περιγεγενημένον, εἰκότως ἂν ἡμᾶς καὶ νῦν ἐκφοβεῖν ἐπεχείρουν: εἰ δὲ τοῦτο μὲν μὴ γέγονεν, ἀντιπάλων δ᾽ ὄντων ἡμῶν καὶ Λακεδαιμονίων προσθέμενος τοῖς ἑτέροις ἐπικυδέστερα τὰ πράγματα θάτερ᾽ ἐποίησεν, οὐδέν ἐστι τοῦτο σημεῖον τῆς ἐκείνου ῥώμης. ἐν γὰρ τοῖς τοιούτοις καιροῖς πολλάκις μικραὶ δυνάμεις μεγάλας τὰς ῥοπὰς ἐποίησαν, ἐπεὶ καὶ περὶ Χίων ἔχοιμ᾽ ἂν τοῦτον τὸν λόγον εἰπεῖν, ὡς ὁποτέροις ἐκεῖνοι προσθέσθαι βουληθεῖεν, οὗτοι κατὰ θάλατταν κρείττους ἦσαν.

simultáneamente a las dos ciudades, con razón también ahora intentarían infundirnos miedo; pero si esta circunstancia nunca ha ocurrido, sino que, si cuando nosotros y los lacedemonios estábamos enfrentados con igualdad de fuerzas, es cuando consiguió sus mayores triunfos al asociarse con uno de los dos, en absoluto es esto una prueba de su poderío. En circunstancias semejantes, muchas veces fuerzas pequeñas han tenido influencias decisivas; sí, podría referirme a Quíos[98] que dio la supremacía marítima a quienes decidieron unirse a ella.

[140] ἀλλὰ γὰρ οὐκ ἐκ τούτων δίκαιόν ἐστι σκοπεῖν τὴν βασιλέως δύναμιν, ἐξ ὧν μεθ᾽ ἑκατέρων γέγονεν, ἀλλ᾽ ἐξ ὧν αὐτὸς ὑπὲρ αὑτοῦ πεπολέμηκεν.
καὶ πρῶτον μὲν ἀποστάσης Αἰγύπτου τί διαπέπρακται πρὸς τοὺς ἔχοντας αὐτήν; οὐκ ἐκεῖνος μὲν ἐπὶ τὸν πόλεμον τοῦτον κατέπεμψε τοὺς εὐδοκιμωτάτους Περσῶν, Ἀβροκόμαν καὶ Τιθραύστην καὶ Φαρνάβαζον, οὗτοι δὲ τρί᾽ ἔτη μείναντες, καὶ πλείω κακὰ παθόντες ἢ ποιήσαντες, τελευτῶντες οὕτως αἰσχρῶς ἀπηλλάγησαν, ὥστε τοὺς ἀφεστῶτας μηκέτι τὴν ἐλευθερίαν ἀγαπᾶν, ἀλλ᾽ ἤδη καὶ τῶν ὁμόρων ζητεῖν ἐπάρχειν;

140 No es justo, pues, examinar el poder del Rey por lo que hizo con ayuda de otros, sino por lo que ha guerreado él mismo por su propia cuenta. En primer lugar, cuando Egipto se sublevó ¿qué ha conseguido de sus habitantes? ¿No envió a esta guerra a los persas más famosos, a Abroconas, Titraustes y Farnabazo, quienes, tras aguantar tres unos sufriendo daño más que causándolo, acabaron por retirarse en tales condiciones que los sublevados no se contentaron con la libertad, sino que buscaban ya dominar a los vecinos?

[141] μετὰ δὲ ταῦτ᾽ ἐπ᾽ Εὐαγόραν στρατεύσας, ὃς ἄρχει μὲν μιᾶς πόλεως, ἐν δὲ ταῖς συνθήκαις ἔκδοτός ἐστιν, οἰκῶν δὲ νῆσον κατὰ μὲν θάλατταν προδεδυστύχηκεν, ὑπὲρ δὲ τῆς χώρας τρισχιλίους ἔχει μόνον πελταστάς, ἀλλ᾽ ὅμως οὕτω ταπεινῆς δυνάμεως οὐ δύναται περιγενέσθαι βασιλεὺς πολεμῶν, ἀλλ᾽ ἤδη μὲν ἓξ ἔτη διατέτριφεν, εἰ δὲ δεῖ τὰ μέλλοντα τοῖς γεγενημένοις τεκμαίρεσθαι, πολὺ πλείων ἐλπίς ἐστιν ἕτερον ἀποστῆναι πρὶν ἐκεῖνον ἐκπολιορκηθῆναι: τοιαῦται βραδυτῆτες ἐν ταῖς πράξεσι ταῖς βασιλέως ἔνεισιν.

141 En segundo lugar, cuando el Rey hizo una expedición contra Evágoras que domina una sola ciudad[99] (de las de Chipre), que le había sido entregada según los tratados y que, habitando una isla, ya había sido vencido por mar y sólo cuenta con 3.000 peltastas para defender su territorio, aun así, con una fuerza tan pequeña, el Rey no puede vencerle en la guerra. Ya lleva gastados 6 años y, si hay que conjeturar el porvenir a partir de lo ocurrido, es mucho más probable que otro se subleve antes de que Evágoras sea rendido por asedio; tal lentitud hay en las acciones del Rey.

---

[98] Quíos, antigua aliada de Atenas, se pasó a Esparta tras la expedición ateniense a Sicilia (cf. TUC., VIII 7).

[99] La de Salamina.

[142] ἐν τῷ πολέμῳ τῷ περὶ Ῥόδον ἔχων μὲν τοὺς Λακεδαιμονίων συμμάχους εὔνους διὰ τὴν χαλεπότητα τῶν πολιτειῶν, χρώμενος δὲ ταῖς ὑπηρεσίαις ταῖς παρ᾽ ἡμῶν, στρατηγοῦντος δ᾽ αὐτῷ Κόνωνος, ὃς ἦν ἐπιμελέστατος μὲν τῶν στρατηγῶν, πιστότατος δὲ τοῖς Ἕλλησιν, ἐμπειρότατος δὲ τῶν πρὸς τὸν πόλεμον κινδύνων, τοιοῦτον λαβὼν συναγωνιστὴν τρία μὲν ἔτη περιεῖδε τὸ ναυτικὸν τὸ προκινδυνεῦον ὑπὲρ τῆς Ἀσίας ὑπὸ τριήρων ἑκατὸν μόνων πολιορκούμενον, πεντεκαίδεκα δὲ μηνῶν τοὺς στρατιώτας τὸν μισθὸν ἀπεστέρησεν, ὥστε τὸ μὲν ἐπ᾽ ἐκείνῳ πολλάκις ἂν διελύθησαν, διὰ δὲ τὸν ἐφεστῶτα καὶ τὴν συμμαχίαν τὴν περὶ Κόρινθον συστᾶσαν μόλις ναυμαχοῦντες ἐνίκησαν.

142 En la guerra de Rodas, cuando tenía a los aliados de los lacedemonios como amigos a causa de la dureza de los regímenes políticos, cuando utilizaba nuestros marineros y remeros, cuando dirigía su expedición Conón, el más responsable de los generales, el de mayor confianza para los griegos y el más experto en los peligros de la guerra, a pesar de haber tenido tal colaborador, vio con indiferencia que durante 3 años la escuadra que afronta el peligro por Asia estuviera sitiada por sólo 100 trirremes; además, quitó a los soldados la paga de 15 meses, de manera que muchas veces le habrían abandonado si dependieran de él, pero por el peligro presente y la formación de la liga de Corinto[100] vencieron, después de una difícil batalla naval[101].

[143] καὶ ταῦτ᾽ ἐστὶ τὰ βασιλικώτατα καὶ σεμνότατα τῶν ἐκείνῳ πεπραγμένων, καὶ περὶ ὧν οὐδέποτε παύονται λέγοντες οἱ βουλόμενοι τὰ τῶν βαρβάρων μεγάλα ποιεῖν. ὥστ᾽ οὐδεὶς ἂν ἔχοι τοῦτ᾽ εἰπεῖν, ὡς οὐ δικαίως χρῶμαι τοῖς παραδείγμασιν, οὐδ᾽ ὡς ἐπὶ μικροῖς διατρίβω τὰς μεγίστας τῶν πράξεων παραλείπων:

143 Y esto es lo más regio y venerable que hizo, y de lo que nunca paran de hablar quienes quieren ensalzar las hazañas de los bárbaros. Así, nadie puede decir que utilizo ejemplos sin justicia, ni que pierdo el tiempo en cosas pequeñas, dejando de lado las mayores hazañas;

[144] φεύγων γὰρ ταύτην τὴν αἰτίαν τὰ κάλλιστα τῶν ἔργων διῆλθον, οὐκ ἀμνημονῶν οὐδ᾽ ἐκείνων, ὅτι Δερκυλίδας μὲν χιλίους ἔχων ὁπλίτας τῆς Αἰολίδος ἐπῆρχε, Δράκων δὲ Ἀταρνέα καταλαβὼν καὶ τρισχιλίους πελταστὰς συλλέξας τὸ Μύσιον πεδίον ἀνάστατον ἐποίησε, Θίβρων δὲ ὀλίγῳ πλείους τούτων διαβιβάσας τὴν Λυδίαν ἅπασαν ἐπόρθησεν, Ἀγησίλαος δὲ τῷ Κυρείῳ στρατεύματι χρώμενος μικροῦ δεῖν τῆς ἐντὸς Ἅλυος χώρας ἐκράτησεν.

144 pero para escapar a esta acusación referí las acciones más hermosas, sin olvidarme de aquellas otras, a saber, de que Dercílidas[102] con 1.000 hoplitas se apoderó de Eólide, que Dracón[103] tras tomar Atarneo y reunir 3.000 peltastas, devastó la llanura de Misia, que Tribón[104], habiendo transportado pocos más que éstos, devastó toda Lidia, y que a Agesilao[105], utilizando el ejército de Ciro, le faltó poco para apoderarse de la tierra del lado de acá del río Halis.

---

[100] La liga de Corinto, constituida por Atenas, Tebas, Corinto y Argos con apoyo persa, se formó el año 395 a. C. para luchar contra la hegemonía espartana.

[101] La de Cnido.

[102] Almirante espartano el año 399 a. C. (cf. JENOF., *Hel*. III 2, 1.

[103] Nombrado por Dercílidas harmosta de Atarneo el año 395 antes de Cristo (cf. JENOF., *Hel*. III 2, 11).

[104] Antecesor de Dercílidas al frente de la escuadra espartana, durante los años 400-399.

[105] La campaña de Agesilao se desarrolló durante el año 395 antes de Cristo (cf. JENOF., *Hel*. III 4, 20).

[145] καὶ μὴν οὐδὲ τὴν στρατιὰν τὴν μετὰ τοῦ βασιλέως περιπολοῦσαν, οὐδὲ τὴν Περσῶν ἀνδρίαν ἄξιον φοβηθῆναι: καὶ γὰρ ἐκεῖνοι φανερῶς ἐπεδείχθησαν ὑπὸ τῶν Κύρῳ συναναβάντων οὐδὲν βελτίους ὄντες τῶν ἐπὶ θαλάττῃ. τὰς μὲν γὰρ ἄλλας μάχας ὅσας ἡττήθησαν ἐῶ, καὶ τίθημι στασιάζειν αὐτοὺς καὶ μὴ βούλεσθαι προθύμως πρὸς τὸν ἀδελφὸν τὸν βασιλέως διακινδυνεύειν.

145 No hay que temer al ejército que escolta al Rey ni al valor de los persas. Pues demostraron claramente, cuando marcharon bajo las órdenes de Ciro[106], que en nada son mejores a los que viven junto al mar. Paso por alto otras batallas en las que fueron vencidos, e incluso concedo que se hallaban en discordia y que no querían luchar con valentía contra el hermano del Rey.

[146] ἀλλ᾽ ἐπειδὴ Κύρου τελευτήσαντος συνῆλθον ἅπαντες οἱ τὴν Ἀσίαν κατοικοῦντες, ἐν τούτοις τοῖς καιροῖς οὕτως αἰσχρῶς ἐπολέμησαν, ὥστε μηδένα λόγον ὑπολιπεῖν τοῖς εἰθισμένοις τὴν Περσῶν ἀνδρίαν ἐπαινεῖν. λαβόντες γὰρ ἑξακισχιλίους τῶν Ἑλλήνων οὐκ ἀριστίνδην ἐπειλεγμένους, ἀλλ᾽ οἳ διὰ φαυλότητα ἐν ταῖς αὑτῶν οὐχ οἷοί τ᾽ ἦσαν ζῆν, ἀπείρους μὲν τῆς χώρας ὄντας, ἐρήμους δὲ συμμάχων γεγενημένους, προδεδομένους δ᾽ ὑπὸ τῶν συναναβάντων, ἀπεστερημένους δὲ τοῦ στρατηγοῦ μεθ᾽ οὗ συνηκολούθησαν,

146 Pero después que Ciro murió se reunieron todos los que pueblan Asia, y en esta circunstancia pelearon tan mal, que no dejaron ningún argumento a quienes acostumbran a alabar el valor de los persas. Pues alcanzaron a seis mil griegos[107], no elegidos por su valor, sino incapaces de vivir en sus propias [ciudades][108] a causa de su medianía, que desconocían el terreno, faltos de aliados, traicionados por sus acompañantes, privados del general que les había guiado.

[147] τοσοῦτον αὐτῶν ἥττους ἦσαν, ὥσθ᾽ ὁ βασιλεὺς ἀπορήσας τοῖς παροῦσι πράγμασι καὶ καταφρονήσας τῆς περὶ αὑτὸν δυνάμεως τοὺς ἄρχοντας τοὺς τῶν ἐπικούρων ὑποσπόνδους συλλαβεῖν ἐτόλμησεν, ὡς εἰ τοῦτο παρανομήσειε συνταράξων τὸ στρατόπεδον, καὶ μᾶλλον εἵλετο περὶ τοὺς θεοὺς ἐξαμαρτεῖν ἢ πρὸς ἐκείνους ἐκ τοῦ φανεροῦ διαγωνίσασθαι.

147 Pero los persas eran tan inferiores a ellos que el Rey, como no sabía qué hacer en aquella circunstancia y desconfiaba de su fuerza, se atrevió a apoderarse de los jefes de los mercenarios que habían pactado una tregua, como si, al cometer este ultraje, fuera a desordenar al ejército, y prefirió pecar contra los dioses a enfrentarse abiertamente con aquéllos.

[148] διαμαρτὼν δὲ τῆς ἐπιβουλῆς, καὶ τῶν στρατιωτῶν συμμεινάντων καὶ καλῶς ἐνεγκόντων τὴν συμφοράν, ἀπιοῦσιν αὐτοῖς Τισσαφέρνην καὶ τοὺς ἱππέας συνέπεμψεν, ὑφ᾽ ὧν ἐκεῖνοι παρὰ πᾶσαν ἐπιβουλευόμενοι τὴν ὁδὸν ὁμοίως διεπορεύθησαν ὡσπερανεὶ

148 Pero al fallar su plan, y unirse los soldados que soportaron bien esta desgracia, mandó contra ellos que se iban, a Tisafernes y la caballería, que les acecharon por todo el camino, aunque marcharon como si fueran escoltados, y como temían muchísimo la tierra sin habitar,

[106] Véase JENOF., *Anábasis*.
[107] Es el número de supervivientes que llegaron a Lámpsaco.
[108] La palabra entre corchetes, no aparece en los MSS.

προπεμπόμενοι, μάλιστα μὲν φοβούμενοι τὴν ἀοίκητον τῆς χώρας, μέγιστον δὲ τῶν ἀγαθῶν νομίζοντες εἰ τῶν πολεμίων ὡς πλείστοις ἐντύχοιεν.

consideraban el mayor de los bienes encontrarse con los más enemigos posibles.

[149] κεφάλαιον δὲ τῶν εἰρημένων: ἐκεῖνοι γὰρ οὐκ ἐπὶ λείαν ἐλθόντες οὐδὲ κώμην καταλαβόντες, ἀλλ᾽ ἐπ᾽ αὐτὸν τὸν βασιλέα στρατεύσαντες, ἀσφαλέστερον κατέβησαν τῶν περὶ φιλίας ὡς αὐτὸν πρεσβευόντων. ὥστε μοι δοκοῦσιν ἐν ἅπασι τοῖς τόποις σαφῶς ἐπιδεδεῖχθαι τὴν αὑτῶν μαλακίαν: καὶ γὰρ ἐν τῇ παραλίᾳ τῆς Ἀσίας πολλὰς μάχας ἥττηνται, καὶ διαβάντες εἰς τὴν Εὐρώπην δίκην ἔδοσαν (οἱ μὲν γὰρ αὐτῶν κακῶς ἀπώλοντο, οἱ δ᾽ αἰσχρῶς ἐσώθησαν), καὶ τελευτῶντες ὑπ᾽ αὐτοῖς τοῖς βασιλείοις καταγέλαστοι γεγόνασιν.

149 Lo más importante de lo referido es lo siguiente: aquéllos no habían marchado por botín, ni por conquistar una aldea, sino que hicieron la expedición contra el propio Rey y volvieron más seguros que si hubieran ido a verle como embajadores amigos. Así, me parece que queda suficientemente demostrada su cobardía en todos los sitios; porque en la ribera de Asia han perdido muchas batallas y cuando vinieron a Europa recibieron su castigo —unos perecieron miserablemente, otros se salvaron con deshonra— y terminaron por ser motivo de risa a las puertas del mismo palacio real[109].

[150] καὶ τούτων οὐδὲν ἀλόγως γέγονεν, ἀλλὰ πάντ᾽ εἰκότως ἀποβέβηκεν: οὐ γὰρ οἷόν τε τοὺς οὕτω τρεφομένους καὶ πολιτευομένους οὔτε τῆς ἄλλης ἀρετῆς μετέχειν οὔτ᾽ ἐν ταῖς μάχαις τρόπαιον ἱστάναι τῶν πολεμίων. πῶς γὰρ ἐν τοῖς ἐκείνων ἐπιτηδεύμασιν ἐγγενέσθαι δύναιτ᾽ ἂν ἢ στρατηγὸς δεινὸς ἢ στρατιώτης ἀγαθός, ὧν τὸ μὲν πλεῖστόν ἐστιν ὄχλος ἄτακτος καὶ κινδύνων ἄπειρος, πρὸς μὲν τὸν πόλεμον ἐκλελυμένος, πρὸς δὲ τὴν δουλείαν ἄμεινον τῶν παρ᾽ ἡμῖν οἰκετῶν πεπαιδευμένος,

150 Nada de esto fue ilógico, sino que todo sucedió como era de esperar; porque es imposible que los así criados y gobernados participen de valor alguno, ni en las batallas levanten un trofeo sobre sus enemigos. ¿Cómo puede salir un general experto o un soldado valiente con la manera de vivir de aquéllos, que, en su mayor parte, son una masa desordenada y desconocedora de riesgo, floja para la guerra y más educada para la esclavitud que nuestros propios esclavos?

[151] οἱ δ᾽ ἐν ταῖς μεγίσταις δόξαις ὄντες αὐτῶν ὁμαλῶς μὲν οὐδὲ κοινῶς οὐδὲ πολιτικῶς οὐδεπώποτ᾽ ἐβίωσαν, ἅπαντα δὲ τὸν χρόνον διάγουσιν εἰς μὲν τοὺς ὑβρίζοντες τοῖς δὲ δουλεύοντες, ὡς ἂν ἄνθρωποι μάλιστα τὰς φύσεις διαφθαρεῖεν, καὶ τὰ μὲν σώματα διὰ τοὺς πλούτους τρυφῶντες, τὰς δὲ ψυχὰς διὰ τὰς μοναρχίας ταπεινὰς καὶ περιδεεῖς ἔχοντες, ἐξεταζόμενοι πρὸς αὐτοῖς τοῖς βασιλείοις καὶ προκαλινδούμενοι καὶ πάντα

151 Y quienes de ellos gozan de la mayor estimación nunca vivieron en igualdad ni en sociedad con otros ni con el estado, y pasan toda su vida injuriando a unos y siendo esclavos de otros, como hombres que corrompen enteramente sus naturalezas, afeminan sus cuerpos a causa de su riqueza y tienen sus espíritus humillados y pusilánimes por la monarquía; se dejan inspeccionar ante el mismo

[109] Exageración de Isócrates, aunque Cunaxa, lugar de la batalla en la que murió Ciro, se encuentra cerca de Babilonia (a unos 65 kms., según JENOF., *Anábasis* II 2, 6).

τρόπον μικρὸν φρονεῖν μελετῶντες, θνητὸν μὲν ἄνδρα προσκυνοῦντες καὶ δαίμονα προσαγορεύοντες, τῶν δὲ θεῶν μᾶλλον ἢ τῶν ἀνθρώπων ὀλιγωροῦντες. τοιγαροῦν οἱ καταβαίνοντες αὐτῶν ἐπὶ θάλατταν,

palacio, se postran en el suelo[110], se preocupan de humillarse de todos modos, adoran a un hombre mortal y le llaman dios, desdeñando más a los dioses que a los hombres.

[152] οὓς καλοῦσι σατράπας, οὐ καταισχύνουσι τὴν ἐκεῖ παίδευσιν, ἀλλ᾽ ἐν τοῖς ἤθεσι τοῖς αὐτοῖς διαμένουσι, πρὸς μὲν τοὺς φίλους ἀπίστως πρὸς δὲ τοὺς ἐχθροὺς ἀνάνδρως ἔχοντες, καὶ τὰ μὲν ταπεινῶς τὰ δ᾽ ὑπερηφάνως ζῶντες, τῶν μὲν συμμάχων καταφρονοῦντες τοὺς δὲ πολεμίους θεραπεύοντες.

152 Los que marchan a las costas, llamados sátrapas, no deshonran la educación de allí, sino que se mantienen en las mismas costumbres, y son infieles con los amigos y miedosos con los enemigos; unas veces viven con humillación, otras con soberbia, traicionando a sus aliados y sirviendo a sus enemigos.

[153] τὴν μέν γε μετ᾽ Ἀγησιλάου στρατιὰν ὀκτὼ μῆνας ταῖς αὑτῶν δαπάναις διέθρεψαν, τοὺς δ᾽ ὑπὲρ αὑτῶν κινδυνεύοντας ἑτέρου τοσούτου χρόνου τὸν μισθὸν ἀπεστέρησαν: καὶ τοῖς μὲν Κισθήνην καταλαβοῦσιν ἑκατὸν τάλαντα διένειμαν, τοὺς δὲ μεθ᾽ αὑτῶν εἰς Κύπρον στρατευσαμένους μᾶλλον ἢ τοὺς αἰχμαλώτους ὕβριζον.

153 Así es que, al ejército de Agesilao lo mantuvieron durante 8 meses con sus propios recursos[111], mientras quitaron el sueldo durante doble tiempo que aquél a quienes se arriesgaban por silos; a los que tomaron Cistene[112] les repartieron 100 talentos, y, en cambio, a quienes lucharon con ellos en Chipre les injuriaban más que a prisioneros.

[154] ὡς δ᾽ ἁπλῶς εἰπεῖν καὶ μὴ καθ᾽ ἓν ἕκαστον ἀλλ᾽ ὡς ἐπὶ τὸ πολύ, τίς ἢ τῶν πολεμησάντων αὐτοῖς οὐκ εὐδαιμονήσας ἀπῆλθεν, ἢ τῶν ὑπ᾽ ἐκείνοις γενομένων οὐκ αἰκισθεὶς τὸν βίον ἐτελεύτησεν; οὐ Κόνωνα μέν, ὃς ὑπὲρ τῆς Ἀσίας στρατηγήσας τὴν ἀρχὴν τὴν Λακεδαιμονίων κατέλυσεν, ἐπὶ θανάτῳ συλλαβεῖν ἐτόλμησαν, Θεμιστοκλέα δ᾽, ὃς ὑπὲρ τῆς Ἑλλάδος αὐτοὺς κατεναυμάχησε, τῶν μεγίστων δωρεῶν ἠξίωσαν;

154 Para hablar en general y no de cada cosa en particular, sino en conjunto, ¿quién de los que pelearon contra ellos no regresó feliz, o quién de los que estuvieron a sus órdenes no acabó su vida maltratado? ¿No se atrevieron a matar a Conón, el que como general en defensa de Asia destruyó el imperio de los lacedemonios, y a Temístocles, en cambio, que defendiendo a Grecia les venció en combate naval le estimaron digno de los mayores regalos?[113]

[155] καίτοι πῶς χρὴ τὴν τούτων φιλίαν ἀγαπᾶν, οἳ τοὺς μὲν εὐεργέτας τιμωροῦνται, τοὺς δὲ κακῶς ποιοῦντας οὕτως ἐπιφανῶς

155 ¿Hay que apreciar la amistad de quienes castigan a sus bienhechores y adulan tan a las claras a quienes les hacen daño? ¿A quiénes de

[110] Alusión al saludo persa (proskýnesis), que a los griegos les parecía el colmo de la humillación.
[111] JENOF., *Hel*. III 4, 25-27, nos dice que al establecerse una
tregua entre Agesilao y el sátrapa Titraustes, el ejército espartano recibió una indemnización de 30 talentos.
[112] Ciudad de Asia Menor, conquistada por Agesilao.
[113] No hay que olvidar que, según TUC., I 137 ss., Temístocles, ya exiliado, estuvo sirviendo a los persas.

κολακεύουσιν; περὶ τίνας δ᾽ ἡμῶν οὐκ ἐξημαρτήκασιν; ποῖον δὲ χρόνον διαλελοίπασιν ἐπιβουλεύοντες τοῖς Ἕλλησιν; τί δ᾽ οὐκ ἐχθρὸν αὐτοῖς ἐστι τῶν παρ᾽ ἡμῖν, οἳ καὶ τὰ τῶν θεῶν ἕδη καὶ τοὺς νεὼς συλᾶν ἐν τῷ προτέρῳ πολέμῳ καὶ κατακάειν ἐτόλμησαν;

nosotros no perjudicaron? ¿Cuánto tiempo han dejado pasar sin conspirar contra los griegos? ¿Qué cosa nuestra no odian esos que osaron saquear y quemar en la guerra anterior los santuarios de los dioses y los templos?

[156] διὸ καὶ τοὺς Ἴωνας ἄξιον ἐπαινεῖν, ὅτι τῶν ἐμπρησθέντων ἱερῶν ἐπηράσαντο εἴ τινες κινήσειαν ἢ πάλιν εἰς τἀρχαῖα καταστῆσαι βουληθεῖεν, οὐκ ἀποροῦντες πόθεν ἐπισκευάσωσιν, ἀλλ᾽ ἵν᾽ ὑπόμνημα τοῖς ἐπιγιγνομένοις ᾖ τῆς τῶν βαρβάρων ἀσεβείας, καὶ μηδεὶς πιστεύῃ τοῖς τοιαῦτα εἰς τὰ τῶν θεῶν ἐξαμαρτεῖν τολμῶσιν, ἀλλὰ καὶ φυλάττωνται καὶ δεδίωσιν, ὁρῶντες αὐτοὺς οὐ μόνον τοῖς σώμασιν ἡμῶν ἀλλὰ καὶ τοῖς ἀναθήμασι πολεμήσαντας.

156 Por eso hay que alabar también a los jonios que maldijeron[114] a quienes levantaran los templos quemados o quisieran ponerlos de nuevo en su estado primitivo, no porque les faltase con qué repararlos, sino para que fueran recuerdo de la impiedad de los bárbaros ante las generaciones futuras; también para que ninguno confiase en quienes se atrevieron a pecar de tal modo con las cosas divinas, sino que vigilen y los teman, al ver que los bárbaros no sólo hicieron la guerra a nuestros cuerpos, sino también a nuestras ofrendas.

[157] ἔχω δὲ καὶ περὶ τῶν πολιτῶν τῶν ἡμετέρων τοιαῦτα διελθεῖν. καὶ γὰρ οὗτοι πρὸς μὲν τοὺς ἄλλους, ὅσοις πεπολεμήκασιν, ἅμα διαλλάττονται καὶ τῆς ἔχθρας τῆς γεγενημένης ἐπιλανθάνονται, τοῖς δ᾽ ἠπειρώταις οὐδ᾽ ὅταν εὖ πάσχωσι χάριν ἴσασιν: οὕτως ἀείμνηστον τὴν ὀργὴν πρὸς αὐτοὺς ἔχουσιν. καὶ πολλῶν μὲν οἱ πατέρες ἡμῶν μηδισμοῦ θάνατον κατέγνωσαν, ἐν δὲ τοῖς συλλόγοις ἔτι καὶ νῦν ἀρὰς ποιοῦνται, πρὶν ἄλλο τι χρηματίζειν, εἴ τις ἐπικηρυκεύεται Πέρσαις τῶν πολιτῶν: Εὐμολπίδαι δὲ καὶ Κήρυκες ἐν τῇ τελετῇ τῶν μυστηρίων διὰ τὸ τούτων μῖσος καὶ τοῖς ἄλλοις βαρβάροις εἴργεσθαι τῶν ἱερῶν, ὥσπερ τοῖς ἀνδροφόνοις, προαγορεύουσιν.

157 Puedo contar cosas parecidas de nuestros conciudadanos. También ellos, tan pronto como hacen la paz con quienes combatieron, se olvidan a la vez de la enemistad que antes se produjo; en cambio, no saben hacerlo con los continentales, ni cuando éstos les hacen un favor; tan inextinguible odio les tienen. Nuestros padres castigaron con la muerte a muchos por su inclinación hacia los persas; y, aún ahora, en las asambleas también se lanzan maldiciones, antes de ocuparse de ningún otro asunto, contra cualquier ciudadano que tenga trato con los persas[115]. Los Eumólpidas y los Cérices[116] en la celebración de los misterios, a causa de su odio a los persas, ordenan excluir de los actos sagrados a los demás bárbaros, como si fueran homicidas.

[158] οὕτω δὲ φύσει πολεμικῶς πρὸς αὐτοὺς ἔχομεν, ὥστε καὶ τῶν μύθων ἥδιστα

158 Somos por naturaleza tan enemigos suyos, que los mitos que más nos distraen son los

---

[114] Cf. HERÓD., VI 19, 32; el juramento de los jonios debe ser una leyenda.
[115] Cf. PLAT., *República* 470 C.
[116] Encargados de los cultos de Eleusis, descendientes de Eumolpo y Cérix.

συνδιατρίβομεν τοῖς Τρωικοῖς καὶ Περσικοῖς, δι᾽ ὧν ἔστι πυνθάνεσθαι τὰς ἐκείνων συμφοράς. εὕροι δ᾽ ἄν τις ἐκ μὲν τοῦ πολέμου τοῦ πρὸς τοὺς βαρβάρους ὕμνους πεποιημένους, ἐκ δὲ τοῦ πρὸς τοὺς Ἕλληνας θρήνους ἡμῖν γεγενημένους, καὶ τοὺς μὲν ἐν ταῖς ἑορταῖς ᾀδομένους, τῶν δ᾽ ἐπὶ ταῖς συμφοραῖς ἡμᾶς μεμνημένους.

Troyanos y Pérsicos, por los que nos enteramos de sus desgracias. Cualquiera puede notar que hemos hecho himnos de la guerra contra los bárbaros y cantos fúnebres, en cambio, de las guerras entre griegos; los primeros los cantamos en las fiestas, de los otros nos acordamos en las desgracias.

[159] οἶμαι δὲ καὶ τὴν Ὁμήρου ποίησιν μείζω λαβεῖν δόξαν, ὅτι καλῶς τοὺς πολεμήσαντας τοῖς βαρβάροις ἐνεκωμίασε, καὶ διὰ τοῦτο βουληθῆναι τοὺς προγόνους ἡμῶν ἔντιμον αὐτοῦ ποιῆσαι τὴν τέχνην ἔν τε τοῖς τῆς μουσικῆς ἄθλοις καὶ τῇ παιδεύσει τῶν νεωτέρων, ἵνα πολλάκις ἀκούοντες τῶν ἐπῶν ἐκμανθάνωμεν τὴν ἔχθραν τὴν ὑπάρχουσαν πρὸς αὐτούς, καὶ ζηλοῦντες τὰς ἀρετὰς τῶν στρατευσαμένων τῶν αὐτῶν ἔργων ἐκείνοις ἐπιθυμῶμεν.

159 Creo que la poesía de Homero alcanzó tan enorme fama porque elogió bellamente a los que lucharon contra los bárbaros, y por este motivo quisieron nuestros antepasados que fuera estimado su arte en los certámenes musicales y en la educación de los jóvenes; para que, al oír muchas veces sus versos, aprendiésemos la enemistad existente contra ellos, y al imitar las virtudes de los que hicieron la expedición, aspirásemos a acciones como aquéllas.

Circunstancias favorables (160-180)

[160] ὥστε μοι δοκεῖ πολλὰ λίαν εἶναι τὰ παρακελευόμενα πολεμεῖν αὐτοῖς, μάλιστα δ᾽ ὁ παρὼν καιρός, ὃν οὐκ ἀφετέον: καὶ γὰρ αἰσχρὸν παρόντι μὲν μὴ χρῆσθαι, παρελθόντος δ᾽ αὐτοῦ μεμνῆσθαι. τί γὰρ ἂν καὶ βουληθεῖμεν ἡμῖν προσγενέσθαι, μέλλοντες βασιλεῖ πολεμεῖν, ἔξω τῶν νῦν ὑπαρχόντων;

160 Así pues, me parece que hay más que suficientes motivos que nos aconsejan hacerles la guerra, y sobre todo la actual oportunidad, la más clara de todas, que no se debe despreciar; sería indigno no aprovecharla y acordarse de ella cuando haya pasado. ¿Qué más ventajas que las de ahora podríamos desear, si queremos hacer la guerra al Rey?

[161] οὐκ Αἴγυπτος μὲν αὐτοῦ καὶ Κύπρος ἀφέστηκε, Φοινίκη δὲ καὶ Συρία διὰ τὸν πόλεμον ἀνάστατοι γεγόνασι, Τύρος δ᾽, ἐφ᾽ ᾗ μέγ᾽ ἐφρόνησεν, ὑπὸ τῶν ἐχθρῶν τῶν ἐκείνου κατείληπται; τῶν δ᾽ ἐν Κιλικίᾳ πόλεων τὰς μὲν πλείστας οἱ μεθ᾽ ἡμῶν ὄντες ἔχουσι, τὰς δ᾽ οὐ χαλεπόν ἐστι κτήσασθαι. Λυκίας δ᾽ οὐδεὶς πώποτε Περσῶν ἐκράτησεν.

161 ¿No se le han sublevado Egipto y Chipre? ¿No han sido devastadas por la guerra Fenicia y Siria? ¿No está ocupada por sus enemigos Tiro, que era su orgullo? De las ciudades de Cilicia, la mayoría las tienen nuestros amigos, y no es difícil hacerse con las demás. De Licia jamás se apoderó un persa.

[162] Ἑκατόμνως δ᾽ ὁ Καρίας ἐπίσταθμος τῇ μὲν ἀληθείᾳ πολὺν ἤδη χρόνον ἀφέστηκεν, ὁμολογήσει δ᾽ ὅταν ἡμεῖς βουληθῶμεν. ἀπὸ δὲ

162 Hecatomno, gobernador de Caria[117], en realidad hace mucho tiempo que se sublevó y lo reconocerá cuando nosotros queramos. Desde

[117] Hecatomno, padre de Mausolo, se mantenía independiente en Caria.

Κνίδου μέχρι Σινώπης Ἕλληνες τὴν Ἀσίαν παροικοῦσιν, οὓς οὐ δεῖ πείθειν ἀλλὰ μὴ κωλύειν πολεμεῖν. καίτοι τοιούτων ὁρμητηρίων ὑπαρξάντων, καὶ τοσούτου πολέμου τὴν Ἀσίαν περιστάντος, τί δεῖ τὰ συμβησόμενα λίαν ἀκριβῶς ἐξετάζειν; ὅπου γὰρ μικρῶν μερῶν ἥττους εἰσίν, οὐκ ἄδηλον ὡς ἂν διατεθεῖεν, εἰ πᾶσιν ἡμῖν πολεμεῖν ἀναγκασθεῖεν.

Cnido hasta Sinope habitan el Asia griegos, a quienes no hay que persuadir a luchar, sino más bien no impedírselo. Y cuando tenemos tales apoyos y una guerra tal cercando al Asia, ¿a qué examinar en detalle lo que ocurrirá?; porque, si los bárbaros valen menos que estas pequeñas partes, no es dudoso lo que les ocurriría si se vieran obligados a combatir con todos nosotros.

[163] ἔχει δ᾽ οὕτως. ἐὰν μὲν ὁ βάρβαρος ἐρρωμενεστέρως κατάσχῃ τὰς πόλεις τὰς ἐπὶ θαλάττῃ, φρουρὰς μείζους ἐν αὐταῖς ἢ νῦν ἐγκαταστήσας, τάχ᾽ ἂν καὶ τῶν νήσων αἱ περὶ τὴν ἤπειρον, οἷον Ῥόδος καὶ Σάμος καὶ Χίος, ἐπὶ τὰς ἐκείνου τύχας ἀποκλίναιεν: ἢν δ᾽ ἡμεῖς αὐτὰς πρότεροι καταλάβωμεν, εἰκὸς τοὺς τὴν Λυδίαν καὶ Φρυγίαν καὶ τὴν ἄλλην τὴν ὑπερκειμένην χώραν οἰκοῦντας ἐπὶ τοῖς ἐντεῦθεν ὁρμωμένοις εἶναι.

163 Así está la situación. Si el bárbaro con más fuerza ocupase las ciudades ribereñas y estableciera en ellas mayores guarniciones que ahora, quizá las islas próximas al continente, cual Rodas, Samos y Quíos se inclinarían hacia su suerte; pero si nosotros somos los primeros en tomarlas, es verosímil que los habitantes de Lidia, Frigia y el restante territorio del interior se pusieran al lado de los que marchasen desde aquí.

[164] διὸ δεῖ σπεύδειν καὶ μηδεμίαν ποιεῖσθαι διατριβήν, ἵνα μὴ πάθωμεν ὅπερ οἱ πατέρες ἡμῶν. ἐκεῖνοι γὰρ ὑστερίσαντες τῶν βαρβάρων καὶ προέμενοί τινας τῶν συμμάχων ἠναγκάσθησαν ὀλίγοι πρὸς πολλοὺς κινδυνεύειν, ἐξὸν αὐτοῖς προτέροις διαβᾶσιν εἰς τὴν ἤπειρον μετὰ πάσης τῆς τῶν Ἑλλήνων δυνάμεως ἐν μέρει τῶν ἐθνῶν ἕκαστον χειροῦσθαι.

164 Por eso, hay que darse prisa y no demorarse, para que no suframos lo que nuestros padres. Pues aquéllos, por haberse retrasado más que los bárbaros y haber abandonado a algunos aliados, se vieron forzados a combatir pocos contra muchos; hubieran podido, tras marchar los primeros sobre Asia con toda la fuerza de Grecia[118], someter sucesivamente cada uno de los pueblos.

[165] δέδεικται γάρ, ὅταν τις πολεμῇ πρὸς ἀνθρώπους ἐκ πολλῶν τόπων συλλεγομένους, ὅτι δεῖ μὴ περιμένειν ἕως ἂν ἐπιστῶσιν, ἀλλ᾽ ἔτι διεσπαρμένοις αὐτοῖς ἐπιχειρεῖν. ἐκεῖνοι μὲν οὖν προεξαμαρτόντες ἅπαντα ταῦτ᾽ ἐπηνωρθώσαντο, καταστάντες εἰς τοὺς μεγίστους ἀγῶνας: ἡμεῖς δ᾽ ἂν σωφρονῶμεν, ἐξ ἀρχῆς φυλαξόμεθα, καὶ πειρασόμεθα φθῆναι περὶ τὴν Λυδίαν καὶ τὴν Ἰωνίαν στρατόπεδον ἐγκαταστήσαντες,

165 Está demostrado que cuando uno lucha contra hombres reclutados en muchos lugares, no hay que esperar a que se agrupen, sino atacarles cuando aún están dispersos. Nuestros padres enmendaron el error que habían cometido con anterioridad, al exponerse a los mayores combates; nosotros, en cambio, si actuamos con sensatez, desde el principio vigilaremos, intentaremos anticiparnos y establecer un ejército alrededor de Lidia y Jonia.

---

[118] Efectivamente, la ayuda de Atenas a la revuelta de las ciudades jonias contra Persia el año 498 a. C. fue totalmente simbólica. La rebelión, acaudillada por Aristágoras de Mileto, tras algunos éxitos iniciales, fue sofocada por Persia: Esparta se negó a intervenir.

[166] εἰδότες ὅτι καὶ βασιλεὺς οὐχ ἑκόντων ἄρχει τῶν ἠπειρωτῶν, ἀλλὰ μείζω δύναμιν περὶ αὑτὸν ἑκάστων αὐτῶν ποιησάμενος: ἧς ἡμεῖς ὅταν κρείττω διαβιβάσωμεν, ὃ βουληθέντες ῥᾳδίως ἂν ποιήσαιμεν, ἀσφαλῶς ἅπασαν τὴν Ἀσίαν καρπωσόμεθα. πολὺ δὲ κάλλιον ἐκείνῳ περὶ τῆς βασιλείας πολεμεῖν, ἢ πρὸς ἡμᾶς αὐτοὺς περὶ τῆς ἡγεμονίας ἀμφισβητεῖν.

166 Sabemos que el Rey gobierna a los del continente no porque ellos quieran, sino porque los ha rodeado a cada uno de ellos con una fuerza superior; si transportamos una aún mayor que ésta, cosa que haremos fácilmente si queremos, con toda seguridad obtendremos provecho de toda el Asia. Y es mucho más bello luchar contra aquél por la soberanía que discutir entre nosotros mismos por la hegemonía.

[167] ἄξιον δ᾽ ἐπὶ τῆς νῦν ἡλικίας ποιήσασθαι τὴν στρατείαν, ἵν᾽ οἱ τῶν συμφορῶν κοινωνήσαντες, οὗτοι καὶ τῶν ἀγαθῶν ἀπολαύσωσι καὶ μὴ πάντα τὸν χρόνον δυστυχοῦντες διαγάγωσιν. ἱκανὸς γὰρ ὁ παρεληλυθώς, ἐν ᾧ τί τῶν δεινῶν οὐ γέγονεν; πολλῶν γὰρ κακῶν τῇ φύσει τῇ τῶν ἀνθρώπων ὑπαρχόντων αὐτοὶ πλείω τῶν ἀναγκαίων προσεξευρήκαμεν,

167 Se debe efectuar la expedición de la generación actual, para que quienes han participado de las desgracias también disfruten de los bienes y no pasen toda su vida en la desdicha. Pues ya es bastante el tiempo pasado en el que ¿qué desgracia dejó de producirse? Porque aunque son muchos los males inherentes a la naturaleza de los hombres,

[168] πολέμους καὶ στάσεις ἡμῖν αὐτοῖς ἐμποιήσαντες, ὥστε τοὺς μὲν ἐν ταῖς αὑτῶν ἀνόμως ἀπόλλυσθαι, τοὺς δ᾽ ἐπὶ ξένης μετὰ παίδων καὶ γυναικῶν ἀλᾶσθαι, πολλοὺς δὲ δι᾽ ἔνδειαν τῶν καθ᾽ ἡμέραν ἐπικουρεῖν ἀναγκαζομένους ὑπὲρ τῶν ἐχθρῶν τοῖς φίλοις μαχομένους ἀποθνήσκειν.

ὑπὲρ ὧν οὐδεὶς πώποτ᾽ ἠγανάκτησεν, ἀλλ᾽ ἐπὶ μὲν ταῖς συμφοραῖς ταῖς ὑπὸ τῶν ποιητῶν συγκειμέναις δακρύειν ἀξιοῦσιν, ἀληθινὰ δὲ πάθη πολλὰ καὶ δεινὰ γιγνόμενα διὰ τὸν πόλεμον ἐφορῶντες τοσούτου δέουσιν ἐλεεῖν, ὥστε καὶ μᾶλλον χαίρουσιν ἐπὶ τοῖς ἀλλήλων κακοῖς ἢ τοῖς αὑτῶν ἰδίοις ἀγαθοῖς.

168 nosotros mismos hemos añadido más de los necesarios al haber hecho guerras y revueltas entre nosotros y, así, unos han muerto injustamente en sus ciudades, otros andan desterrados en tierra extranjera con sus hijos y mujeres, y muchos, obligados por la escasez de lo cotidiano a defender a los enemigos, han muerto luchando contra sus amigos.
Nadie se indignó por estos sucesos, sino que mientras estiman oportuno llorar las desgracias compuestas por los poetas, en cambio, al ver las desgracias auténticas, innumerables y terribles producidas a causa de la guerra, tan lejos están de compadecerlas, que se alegran más con los males ajenos que con sus propios bienes particulares.

[169] ἴσως δ᾽ ἂν καὶ τῆς ἐμῆς εὐηθείας πολλοὶ καταγελάσειαν, εἰ δυστυχίας ἀνδρῶν ὀδυροίμην ἐν τοῖς τοιούτοις καιροῖς, ἐν οἷς Ἰταλία μὲν ἀνάστατος γέγονε, Σικελία δὲ καταδεδούλωται, τοσαῦται δὲ πόλεις τοῖς

169 Quizá también se reirían muchos de mi simplicidad, si llorase las desdichas de los hombres en estas circunstancias, en las que Italia ha quedado devastada, Sicilia esclavizada[119], tantas ciudades se han entregado a los bárbaros

[119] Por Dionisio de Siracusa: cf. nota 92.

βαρβάροις ἐκδέδονται, τὰ δὲ λοιπὰ μέρη τῶν Ἑλλήνων ἐν τοῖς μεγίστοις κινδύνοις ἐστίν.

y los restantes territorios griegos están en los mayores peligros.

[170] θαυμάζω δὲ τῶν δυναστευόντων ἐν ταῖς πόλεσιν, εἰ προσήκειν αὑτοῖς ἡγοῦνται μέγα φρονεῖν, μηδὲν πώποθ᾽ ὑπὲρ τηλικούτων πραγμάτων μήτ᾽ εἰπεῖν μήτ᾽ ἐνθυμηθῆναι δυνηθέντες. ἐχρῆν γὰρ αὐτούς, εἴπερ ἦσαν ἄξιοι τῆς παρούσης δόξης, ἁπάντων ἀφεμένους τῶν ἄλλων περὶ τοῦ πολέμου τοῦ πρὸς τοὺς βαρβάρους εἰσηγεῖσθαι καὶ συμβουλεύειν.

170 Me admiro de que quienes gobiernan en las ciudades crean que deben estar orgullosos cuando no pudieron jamás decir ni idear nada sobre asuntos de tal envergadura. Les haría falta, si fueran merecedores de su actual renombre, dejar a un lado lo demás para proponer y deliberar sobre la guerra contra los bárbaros.

[171] τυχὸν μὲν γὰρ ἄν τι συνεπέραναν: εἰ δὲ καὶ προαπεῖπον, ἀλλ᾽ οὖν τούς γε λόγους ὥσπερ χρησμοὺς εἰς τὸν ἐπιόντα χρόνον ἂν κατέλιπον. νῦν δ᾽ οἱ μὲν ἐν ταῖς μεγίσταις δόξαις ὄντες ἐπὶ μικροῖς σπουδάζουσιν, ἡμῖν δὲ τοῖς τῶν πολιτικῶν ἐξεστηκόσι περὶ τηλικούτων πραγμάτων συμβουλεύειν παραλελοίπασιν.

171 Quizá conseguirían algo; y aunque renunciasen antes, al menos dejarían sus palabras como algo útil para el futuro. Ahora, en cambio, los más renombrados se ocupan en minucias y nos han dejado a nosotros, que estamos alejados de la política, el deliberar sobre asuntos tan importantes[120].

[172] οὐ μὴν ἀλλ᾽ ὅσῳ μικροψυχότεροι τυγχάνουσιν ὄντες οἱ προεστῶτες ἡμῶν, τοσούτῳ τοὺς ἄλλους ἐρρωμενεστέρως δεῖ σκοπεῖν ὅπως ἀπαλλαγησόμεθα τῆς παρούσης ἔχθρας. νῦν μὲν γὰρ μάτην ποιούμεθα τὰς περὶ τῆς εἰρήνης συνθήκας: οὐ γὰρ διαλυόμεθα τοὺς πολέμους ἀλλ᾽ ἀναβαλλόμεθα, καὶ περιμένομεν τοὺς καιροὺς ἐν οἷς ἀνήκεστόν τι κακὸν ἀλλήλους ἐργάσασθαι δυνησόμεθα.

172 Cuanto más pobres de espíritu sean quienes nos gobiernan[121], tanto más necesitamos examinar los demás con la mayor energía de qué forma haremos cesar la enemistad actual. Pues ahora, en vano hacemos tratados de paz: porque no hacemos cesar las guerras, sino que los aplazamos, y aguardamos la ocasión en que podamos causarnos algún mal irreparable.

[173] δεῖ δὲ ταύτας τὰς ἐπιβουλὰς ἐκποδὼν ποιησαμένους ἐκείνοις τοῖς ἔργοις ἐπιχειρεῖν, ἐξ ὧν τάς τε πόλεις ἀσφαλέστερον οἰκήσομεν καὶ πιστότερον διακεισόμεθα πρὸς ἡμᾶς αὐτούς. ἔστι δ᾽ ἁπλοῦς καὶ ῥᾴδιος ὁ λόγος ὁ περὶ τούτων: οὔτε γὰρ εἰρήνην οἷόν τε βεβαίαν ἀγαγεῖν, ἢν μὴ κοινῇ τοῖς βαρβάροις πολεμήσωμεν, οὔθ᾽ ὁμονοῆσαι τοὺς Ἕλληνας,

173 Es preciso que, tras deshacernos de estas intrigas, emprendamos aquellas acciones con las que habitaremos las ciudades con mayor seguridad, y tendremos más confianza entre nosotros mismos. Es simple y fácil el discurso que trata sobre esto: no será posible que guardemos una paz estable a no ser que hagamos la guerra en común contra los

[120] G. HEILBRUNN, «*Isocrates…*», pág. 164, destaca especialmente este pasaje; ¿es una invitación o un reproche a los políticos profesionales?

[121] Una idea que Platón mantiene constantemente.

πρὶν ἂν καὶ τὰς ὠφελίας ἐκ τῶν αὐτῶν καὶ τοὺς κινδύνους πρὸς τοὺς αὐτοὺς ποιησώμεθα.

bárbaros, ni que los griegos estén acordes, antes que obtengamos ayuda de nosotros mismos y arrostremos peligros contra unos mismos enemigos.

[174] τούτων δὲ γενομένων, καὶ τῆς ἀπορίας τῆς περὶ τὸν βίον ἡμῶν ἀφαιρεθείσης, ἣ καὶ τὰς ἑταιρίας διαλύει καὶ τὰς συγγενείας εἰς ἔχθραν προάγει καὶ πάντας ἀνθρώπους εἰς πολέμους καὶ στάσεις καθίστησιν, οὐκ ἔστιν ὅπως οὐχ ὁμονοήσομεν καὶ τὰς εὐνοίας ἀληθινὰς πρὸς ἡμᾶς αὐτοὺς ἕξομεν. ὧν ἕνεκα περὶ παντὸς ποιητέον ὅπως ὡς τάχιστα τὸν ἐνθένδε πόλεμον εἰς τὴν ἤπειρον διοριοῦμεν, ὡς μόνον ἂν τοῦτ᾽ ἀγαθὸν ἀπολαύσαιμεν τῶν κινδύνων τῶν πρὸς ἡμᾶς αὐτούς, εἰ ταῖς ἐμπειρίαις ταῖς ἐκ τούτων γεγενημέναις πρὸς τὸν βάρβαρον καταχρήσασθαι δόξειεν ἡμῖν.

174 Cuando esto ocurra, y desaparezca la dificultad de nuestra vida que rompe las amistades, conduce a los parientes al odio y empuja a todos los hombres a revueltas y guerras, será imposible que no estemos de acuerdo y tengamos una auténtica buena disposición entre nosotros. Por eso, hay que esforzarse lo más posible para que, cuanto antes, desplacemos al continente la guerra que tenemos aquí, en la idea de que podríamos disfrutar de un único bien de nuestras guerras intestinas, siempre y cuando nos decidiéramos a utilizar contra el bárbaro las experiencias aportadas por ellas.

[175] ἀλλὰ γὰρ ἴσως διὰ τὰς συνθήκας ἄξιον ἐπισχεῖν, ἀλλ᾽ οὐκ ἐπειχθῆναι καὶ θᾶττον ποιήσασθαι τὴν στρατείαν; δι᾽ ἃς αἱ μὲν ἠλευθερωμέναι τῶν πόλεων βασιλεῖ χάριν ἴσασιν, ὡς δι᾽ ἐκεῖνον τυχοῦσαι τῆς αὐτονομίας ταύτης, αἱ δ᾽ ἐκδεδομέναι τοῖς βαρβάροις μάλιστα μὲν Λακεδαιμονίοις ἐπικαλοῦσιν, ἔπειτα δὲ καὶ τοῖς ἄλλοις τοῖς μετασχοῦσι σχοῦσι τῆς εἰρήνης, ὡς ὑπὸ τούτων δουλεύειν ἠναγκασμέναι. καίτοι πῶς οὐ χρὴ διαλύειν ταύτας τὰς ὁμολογίας, ἐξ ὧν τοιαύτη δόξα γέγονεν, ὡς ὁ μὲν βάρβαρος κήδεται τῆς Ἑλλάδος καὶ φύλαξ τῆς εἰρήνης ἐστίν, ἡμῶν δέ τινές εἰσιν οἱ λυμαινόμενοι καὶ κακῶς ποιοῦντες αὐτήν;

175 Pero quizá se diga que hay que esperar a causa de los tratados[122], y no apresurarse ni hacer con demasiada rapidez la expedición. Pues, por estos tratados, las ciudades libres deben agradecimiento al Rey, como si tuvieran esta autonomía gracias a él, y, las que han sido entregadas a los bárbaros, acusan sobre todo a los lacedemonios y también a los demás que hicieron la paz, de que fueron obligados por ellos a ser esclavos. ¿Cómo no deben abolirse estos acuerdos, que hacen pensar que el bárbaro se ocupa de Grecia y es guardián de la paz, mientras que algunos de nosotros somos quienes la perjudicaron e hicieron daño?

[176] ὃ δὲ πάντων καταγελαστότατον, ὅτι τῶν γεγραμμένων ἐν ταῖς ὁμολογίαις τὰ χείριστα τυγχάνομεν διαφυλάττοντες. ἃ μὲν γὰρ αὐτονόμους ἀφίησι τάς τε νήσους καὶ τὰς πόλεις τὰς ἐπὶ τῆς Εὐρώπης, πάλαι λέλυται

176 Lo más ridículo de todo es que respetamos precisamente las peores cláusulas de todas las suscritas en los acuerdos. En cambio, las que dejan como autónomas a las islas y ciudades de Europa, se han violado hace tiempo[123] y en vano

[122] Los firmados en la paz de Antálcidas; la agresividad que aqui manifiesta Isócrates considera «papel mojado» estos tratados, como tantas veces ha ocurrido en la historia.

[123] Efectivamente, los lacedemonios habían ocupado ciudades de Arcadia, Beocia y la Calcídica.

καὶ μάτην ἐν ταῖς στήλαις ἐστίν: ἃ δ᾽ αἰσχύνην ἡμῖν φέρει καὶ πολλοὺς τῶν συμμάχων ἐκδέδωκε, ταῦτα δὲ κατὰ χώραν μένει καὶ πάντες αὐτὰ κύρια ποιοῦμεν: ἃ χρῆν ἀναιρεῖν καὶ μηδὲ μίαν ἐᾶν ἡμέραν, νομίζοντας προστάγματα καὶ μὴ συνθήκας εἶναι. τίς γὰρ οὐκ οἶδεν ὅτι συνθῆκαι μέν εἰσιν, αἵ τινες ἂν ἴσως καὶ κοινῶς ἀμφοτέροις ἔχωσι, προστάγματα δὲ τὰ τοὺς ἑτέρους ἐλαττοῦντα παρὰ τὸ δίκαιον;

están escritas en las estelas; pero las que nos avergüenzan y han entregado a muchos aliados, ésas permanecen invariables y todos las consideramos las principales, cuando habría que abolirías y no mantenerlas ni un día más, por estimar que son órdenes y no acuerdos. ¿Quién ignora que un tratado es el que se celebra entre ambas partes con igualdad e imparcialidad, y una orden la que deja a una de las dos en condiciones de inferioridad, contra la justicia?

[177] διὸ καὶ τῶν πρεσβευσάντων ταύτην τὴν εἰρήνην δικαίως ἂν κατηγοροῖμεν, ὅτι πεμφθέντες ὑπὸ τῶν Ἑλλήνων ὑπὲρ τῶν βαρβάρων ἐποιήσαντο τὰς συνθήκας. ἐχρῆν γὰρ αὐτούς, εἴτ᾽ ἐδόκει τὴν αὑτῶν ἔχειν ἑκάστους, εἴτε καὶ τῶν δοριαλώτων ἐπάρχειν, εἴτε τούτων κρατεῖν ὧν ὑπὸ τὴν εἰρήνην ἐτυγχάνομεν ἔχοντες, ἕν τι τούτων ὁρισαμένους καὶ κοινὸν τὸ δίκαιον ποιησαμένους, οὕτω συγγράφεσθαι περὶ αὐτῶν.

177 Por eso podríamos acusar con razón a quienes fueron como embajadores a hacer esta paz[124], porque, enviados por los griegos, firmaron los tratados en provecho de los bárbaros. Hubiera sido preciso que ellos delimitaran una por una estas cosas: o que cada uno mantuviera su territorio, o que gobernase lo conquistado en la guerra, o que controlase lo que tuviera antes de la paz; y, tras haber hecho una justicia común para todos, así lo hubieran escrito.

[178] νῦν δὲ τῇ μὲν ἡμετέρα πόλει καὶ τῇ Λακεδαιμονίων οὐδεμίαν τιμὴν ἀπένειμαν, τὸν δὲ βάρβαρον ἁπάσης τῆς Ἀσίας δεσπότην κατέστησαν, ὥσπερ ὑπὲρ ἐκείνου πολεμησάντων, ἡμῶν, ἢ τῆς μὲν Περσῶν ἀρχῆς πάλαι καθεστηκυίας, ἡμῶν δ᾽ ἄρτι τὰς πόλεις κατοικούντων, ἀλλ᾽ οὐκ ἐκείνων μὲν νεωστὶ ταύτην τὴν ἐχόντων, ἡμῶν δὲ τὸν ἅπαντα χρόνον ἐν τοῖς Ἕλλησι δυναστευόντων.

178 Pero ningún honor concedieron a nuestra ciudad ni a la de los lacedemonios, y, en cambio, hicieron al bárbaro señor de toda Asia, como si hubiéramos hecho la guerra en su beneficio, o el imperio persa hubiera existido desde antiguo y nosotros acabásemos de poblar nuestras ciudades, y no ocurriera que este honor lo tienen los persas desde hace poco y nosotros hemos tenido siempre la hegemonía entre los griegos.

[179] οἶμαι δ᾽ ἐκείνως εἰπὼν μᾶλλον δηλώσειν τήν τε περὶ ἡμᾶς ἀτιμίαν γεγενημένην καὶ τὴν τοῦ βασιλέως πλεονεξίαν. τῆς γὰρ γῆς ἁπάσης τῆς ὑπὸ τῷ κόσμῳ κειμένης δίχα τετμημένης, καὶ τῆς μὲν Ἀσίας τῆς δ᾽ Εὐρώπης καλουμένης, τὴν ἡμίσειαν ἐκ τῶν συνθηκῶν εἴληφεν, ὥσπερ πρὸς τὸν Δία τὴν χώραν

179 Creo que, si hablara de otra manera, más clara quedaría la deshonra que nos ha sobrevenido y la ambición del Rey. Pues toda la tierra que está bajo el universo está dividida en dos partes, una llamada Asia, la otra Europa; el Rey ha tomado una mitad según los tratados, como si repartiera el territorio con Zeus y no hiciera acuerdos con hombres.

[124] Los firmantes del tratado fueron Antálcidas y Tiribazo.

νεμόμενος, ἀλλ᾽ οὐ πρὸς ἀνθρώπους τὰς συνθήκας ποιούμενος.

[180] καὶ ταύτας ἡμᾶς ἠνάγκασεν ἐν στήλαις λιθίναις ἀναγράψαντας ἐν τοῖς κοινοῖς τῶν ἱερῶν καταθεῖναι, πολὺ κάλλιον τρόπαιον τῶν ἐν ταῖς μάχαις γιγνομένων: τὰ μὲν γὰρ ὑπὲρ μικρῶν ἔργων καὶ μιᾶς τύχης ἐστίν, αὗται δ᾽ ὑπὲρ ἅπαντος τοῦ πολέμου καὶ καθ᾽ ὅλης τῆς Ἑλλάδος ἑστήκασιν.

180 Nos obligó a escribir estas condiciones en estelas de mármol y a ponerlas en los santuarios comunes, como el más bello trofeo de los que se consiguen en las batallas; pues éstos son por hazañas pequeñas y un único momento de suerte, y aquél, en cambio, está erigido como consecuencia de toda la guerra y Contra Grecia entera.

Ventajas de la guerra (181-186)

[181] ὑπὲρ ὧν ἄξιον ὀργίζεσθαι, καὶ σκοπεῖν ὅπως τῶν τε γεγενημένων δίκην ληψόμεθα καὶ τὰ μέλλοντα διορθωσόμεθα. καὶ γὰρ αἰσχρὸν ἰδίᾳ μὲν τοῖς βαρβάροις οἰκέταις ἀξιοῦν χρῆσθαι, δημοσίᾳ δὲ τοσούτους τῶν συμμάχων περιορᾶν αὐτοῖς δουλεύοντας, καὶ τοὺς μὲν περὶ τὰ Τρωικὰ γενομένους μιᾶς γυναικὸς ἁρπασθείσης οὕτως ἅπαντας συνοργισθῆναι τοῖς ἀδικηθεῖσιν, ὥστε μὴ πρότερον παύσασθαι πολεμοῦντας πρὶν τὴν πόλιν ἀνάστατον ἐποίησαν τοῦ τολμήσαντος ἐξαμαρτεῖν,

181 Por esto hay que indignarse y mirar de qué forma nos vengaremos de lo ocurrido y enderezaremos el porvenir. Es una vergüenza que, individualmente, parezca adecuado utilizar a los bárbaros como esclavos, y que, oficialmente, se vea con indiferencia a tantos aliados esclavizados por ellos; que quienes vivieron la guerra de Troya compartieron todos con los perjudicados la irritación por el rapto de una sola mujer[125], hasta tal extremo, que no dejaron de luchar antes de destruir la ciudad del que osó cometer aquella injuria,

[182] ἡμᾶς δ᾽ ὅλης τῆς Ἑλλάδος ὑβριζομένης μηδεμίαν ποιήσασθαι κοινὴν τιμωρίαν, ἐξὸν ἡμῖν εὐχῆς ἄξια διαπράξασθαι. μόνος γὰρ οὗτος ὁ πόλεμος εἰρήνης κρείττων ἐστί, θεωρίᾳ μὲν μᾶλλον ἢ στρατείᾳ προσεοικώς, ἀμφοτέροις δὲ συμφέρων, καὶ τοῖς ἡσυχίαν ἄγειν καὶ τοῖς πολεμεῖν ἐπιθυμοῦσιν. εἴη γὰρ ἂν τοῖς μὲν ἀδεῶς τὰ σφέτερ᾽ αὐτῶν καρποῦσθαι, τοῖς δ᾽ ἐκ τῶν ἀλλοτρίων μεγάλους πλούτους κατακτήσασθαι.

182 y que nosotros, ultrajada toda Grecia, no tomemos una venganza común, cuando además podemos realizar acciones dignas de fama. Pues sólo esta guerra es mejor que la paz, parece una procesión más que una expedición militar y conviene tanto a los que prefieren la tranquilidad como a quienes desean pelear. Porque unos podrían disfrutar tranquilamente de lo suyo y los otros obtener las mayores riquezas de lo ajeno.

[183] πολλαχῇ δ᾽ ἄν τις λογιζόμενος εὕροι ταύτας τὰς πράξεις μάλιστα λυσιτελούσας ἡμῖν. φέρε γάρ, πρὸς τίνας χρὴ πολεμεῖν τοὺς μηδεμιᾶς πλεονεξίας ἐπιθυμοῦντας ἀλλ᾽ αὐτὸ τὸ δίκαιον σκοποῦντας; οὐ πρὸς τοὺς καὶ πρότερον κακῶς τὴν Ἑλλάδα ποιήσαντας καὶ

183 Razonando de la manera que se quiera, se descubrirá que estas acciones son las más ventajosas para nosotros. Porque ¿contra qué enemigo deben guerrear quienes no tienen ambición alguna, sino que sólo buscan lo justo? ¿Acaso no contra los que ya antes hicieron daño

[125] Cf. el *Elogio de Helena*.

νῦν ἐπιβουλεύοντας καὶ πάντα τὸν χρόνον οὕτω πρὸς ἡμᾶς διακειμένους;

a Grecia, ahora la acechan y siempre actúan así contra nosotros?

[184] τίσι δὲ φθονεῖν εἰκός ἐστι τοὺς μὴ παντάπασιν ἀνάνδρως διακειμένους ἀλλὰ μετρίως τούτῳ τῷ πράγματι χρωμένους; οὐ τοῖς μείζους μὲν τὰς δυναστείας ἢ κατ᾽ ἀνθρώπους περιβεβλημένοις, ἐλάττονος δ᾽ ἀξίοις τῶν παρ᾽ ἡμῖν δυστυχούντων; ἐπὶ τίνας δὲ στρατεύειν προσήκει τοὺς ἅμα μὲν εὐσεβεῖν βουλομένους ἅμα δὲ τοῦ συμφέροντος ἐνθυμουμένους; οὐκ ἐπὶ τοὺς καὶ φύσει πολεμίους καὶ πατρικοὺς ἐχθρούς, καὶ πλεῖστα μὲν ἀγαθὰ κεκτημένους, ἥκιστα δ᾽ ὑπὲρ αὐτῶν ἀμύνεσθαι δυναμένους; οὐκοῦν ἐκεῖνοι πᾶσι τούτοις ἔνοχοι τυγχάνουσιν ὄντες.

184 ¿A quiénes deben envidiar los que nunca fueron cobardes, sino que, en esto, se han comportado apropiadamente? ¿No a los que han adquirido un poder demasiado grande para un hombre, pero merecen menos consideraciones que nuestros inferiores? ¿Contra quiénes conviene que hagan una expedición los que desean ser piadosos y al mismo tiempo piensan en su propio interés?[126] ¿Acaso no contra los que son por naturaleza enemigos y odiosos por tradición, que han alcanzado enormes bienes y son poco capaces de defenderlos? Pues los bárbaros son los que reúnen todas estas condiciones.

[185] καὶ μὴν οὐδὲ τὰς πόλεις λυπήσομεν στρατιώτας ἐξ αὐτῶν καταλέγοντες, ὃ νῦν ἐν τῷ πολέμῳ τῷ πρὸς ἀλλήλους ὀχληρότατόν ἐστιν αὐταῖς: πολὺ γὰρ οἶμαι σπανιωτέρους ἔσεσθαι τοὺς μένειν ἐθελήσοντας τῶν συνακολουθεῖν ἐπιθυμησόντων. τίς γὰρ οὕτως ἢ νέος ἢ παλαιὸς ῥᾴθυμός ἐστιν, ὅστις οὐ μετασχεῖν βουλήσεται ταύτης τῆς στρατιᾶς, τῆς ὑπ᾽ Ἀθηναίων μὲν καὶ Λακεδαιμονίων στρατηγουμένης, ὑπὲρ δὲ τῆς τῶν συμμάχων ἐλευθερίας ἀθροιζομένης, ὑπὸ δὲ τῆς Ἑλλάδος ἁπάσης ἐκπεμπομένης, ἐπὶ δὲ τὴν τῶν βαρβάρων τιμωρίαν πορευομένης;

185 Y no perjudicaremos a las ciudades al reclutar soldados de ellas, que era lo que más les molestaba en las guerras mutuas; porque creo que serán menos los que quieran quedarse que los que deseen acompañar la expedición. Porque ¿qué joven o viejo es tan perezoso como para no querer tomar parte en esta expedición, dirigida por atenienses y lacedemonios, reunida para liberar a los aliados, enviada por toda Grecia y que va a castigar a los bárbaros?

[186] φήμην δὲ καὶ μνήμην καὶ δόξαν πόσην τινὰ χρὴ νομίζειν ἢ ζῶντας ἕξειν ἢ τελευτήσαντας καταλείψειν τοὺς ἐν τοῖς τοιούτοις ἔργοις ἀριστεύσαντας; ὅπου γὰρ οἱ πρὸς Ἀλέξανδρον πολεμήσαντες καὶ μίαν πόλιν ἑλόντες τοιούτων ἐπαίνων ἠξιώθησαν, ποίων τινῶν χρὴ προσδοκᾶν ἐγκωμίων τεύξεσθαι τοὺς ὅλης τῆς Ἀσίας κρατήσαντας; τίς γὰρ ἢ τῶν ποιεῖν δυναμένων ἢ τῶν λέγειν ἐπισταμένων οὐ πονήσει καὶ φιλοσοφήσει

186 ¿Qué fama, recuerdo y gloria hay que pensar que tendrán, si viven, o dejarán, al morir, quienes se distingan en estas acciones? Porque, si los que combatieron contra Alejandro[127] y tomaron una sola ciudad, fueron considerados dignos de aplausos tales ¿qué encomios se supone que se harán a los que se apoderen de toda Asia? ¿Qué individuo capaz de hacer poesía o que sepa componer discursos no trabajará y se aplicará al estudio si quiere dejar

[126] Otro pasaje que puede verse como muestra del agnosticismo de Isócrates.
[127] Cf. nota 34 al *Elogio de Helena*.

βουλόμενος ἅμα τῆς θ᾽ αὑτοῦ διανοίας καὶ τῆς ἐκείνων ἀρετῆς μνημεῖον εἰς ἅπαντα τὸν χρόνον καταλιπεῖν;

para todo el futuro un recuerdo de su propia inteligencia y del valor de aquéllos?

Conclusión (187-189)

[187] οὐ τὴν αὐτὴν δὲ τυγχάνω γνώμην ἔχων ἔν τε τῷ παρόντι καὶ περὶ τὰς ἀρχὰς τοῦ λόγου. τότε μὲν γὰρ ᾤμην ἀξίως δυνήσεσθαι τῶν πραγμάτων εἰπεῖν: νῦν δ᾽ οὐκ ἐφικνοῦμαι τοῦ μεγέθους αὐτῶν, ἀλλὰ πολλά με διαπέφευγεν ὧν διενοήθην. αὐτοὺς οὖν χρὴ συνδιορᾶν ὅσης ἂν εὐδαιμονίας τύχοιμεν, εἰ τὸν μὲν πόλεμον τὸν νῦν ὄντα περὶ ἡμᾶς πρὸς τοὺς ἠπειρώτας ποιησαίμεθα, τὴν δ᾽ εὐδαιμονίαν τὴν ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην διακομίσαιμεν, καὶ μὴ μόνον ἀκροατὰς γενομένους ἀπελθεῖν,


187 No pienso ahora igual que al comenzar mi discurso. Entonces creí que podría hablar dignamente del tema; pero ahora no llego a su grandeza, sino que dejo olvidadas muchas cosas que proyecté. Es preciso que vosotros mismos examinéis cuánta felicidad alcanzaríamos si la guerra que hay entre nosotros la hiciéramos contra los continentales y transportásemos a Europa la fortuna de Asia; y no os marchéis sólo como gente que me ha escuchado,

[188] ἀλλὰ τοὺς μὲν πράττειν δυναμένους παρακαλοῦντας ἀλλήλους πειρᾶσθαι διαλλάττειν τήν τε πόλιν τὴν ἡμετέραν καὶ τὴν Λακεδαιμονίων, τοὺς δὲ τῶν λόγων ἀμφισβητοῦντας πρὸς μὲν τὴν παρακαταθήκην καὶ περὶ τῶν ἄλλων ὧν νῦν φλυαροῦσι παύεσθαι γράφοντας, πρὸς δὲ τοῦτον τὸν λόγον ποιεῖσθαι τὴν ἅμιλλαν, καὶ σκοπεῖν ὅπως ἄμεινον ἐμοῦ περὶ τῶν αὐτῶν πραγμάτων ἐροῦσιν,

188 sino que quienes puedan actuar se animen entre sí, e intenten reconciliar nuestra ciudad y la de los lacedemonios, quienes disputan sobre la elocuencia dejen de escribir contra la fianza[128] y sobre otras cosas de las que hablan a tontas y a locas[129], y rivalicen en sus discursos sobre este tema y examinen cómo hablarán mejor que yo de este mismo asunto;

[189] ἐνθυμουμένους ὅτι τοῖς μεγάλ᾽ ὑπισχνουμένοις οὐ πρέπει περὶ μικρὰ διατρίβειν, οὐδὲ τοιαῦτα λέγειν ἐξ ὧν ὁ βίος μηδὲν ἐπιδώσει τῶν πεισθέντων, ἀλλ᾽ ὧν ἐπιτελεσθέντων αὐτοί τ᾽ ἀπαλλαγήσονται τῆς παρούσης ἀπορίας καὶ τοῖς ἄλλοις μεγάλων ἀγαθῶν αἴτιοι δόξουσιν εἶναι.

189 deben considerar que quienes prometen mucho no deben disputar sobre minucias, ni hablar de cosas que en nada cambiarán la vida de los hombres a quienes persuadan, sino de aquello que, al cumplirse, les hará escapar de su mediocridad actual, y les hará aparecer ante los demás como autores de los mayores bienes.



[128] Nuevo ataque de Isócrates contra los que escriben discursos forenses como él mismo en su primera etapa.

[129] Véase el *Contra los sofistas* 4 y 7.